AESCHYLI

PERSAE

EDIDIT

MARTIN L. WEST



STVTGARDIAE IN AEDIBVS B. G. TEVBNERI MCMXCI

Die Deutsche Bibliothek – CIP-Einheitsaufnahme

Aeschylus:
[Persae]
Aeschyli Persae / ed. Martin L. West. – Stutgardiae :
Teubner, 1991
(Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)
ISBN 3-519-01014-3
NE: West, Martin L. [Hrsg.]

Printed in Germany

Gesamtherstellung: Passavia Druckerei GmbH Passau

PRAEFATIO

De codicibus scholiisque triadis Aeschyleae

Fabulis Aeschyleis studuerunt Byzantini tribus praecipue: Prometheo, Septemducibus, Persis. Huius 'triadis', ut vocatur, exstant codices plus centum, sed quattuordecim tantum constanter citandi sunt. Longe vetustissimus atque optimus est M = Laur. 32.9 (saec. x); nec tamen semper lectionem meliorem praebet, sed omnia sunt acri iudicio perpendenda. Adsidue correctus est ab eo qui scholia adscripsit (M^s); sollers fuit homo, qui lectiones ex scholiis extrahere quibat, hic illic coniecturas suas adiecit, verum nonnumquam lectionem meliorem oblitteravit. Corrector alter multo recentior (M^2) nihil auctoritatis habet, neque quicquam affert quod non aliunde notum sit; hunc negligere licet.

Ceteri libri tredecim de quibus nunc agitur, I HB OY AWD VN QK L, saeculis xiii et xiv conscripti, inter familias septem (*α β γ δ ε κ λ*) distribuuntur, sicut infra in indice siglorum vides, quamquam hae familiae parum firmae stabilesque sunt. Familiae *α* et *β* melioris sunt notae, *γ* et *δ* mediocris, *ε* vilioris. In familiis *κ* et *λ* bonam quidem traditionem, sed etiam philologorum Byzantinorum vestigia deprehendimus; emendationes quaedam ambarum communes sunt, sed *λ* artius cum Maximo Planude conecti potest. Codex Q et hyparchetypum *λ* a Constantinopoli Thessalonicam videntur devenisse in Demetrii Triclinii scriptorium, ubi increvit et *λ* familia et aliae quas interdum in apparatu memorabo, *μ ξ τ*. Ipsius Triclinii curae in *τ*

familia apparent. Nam exemplar deperditum, quod et ipsum *τ* vocamus, postquam a Triclinio correctum est, fons fuit in Persis codicum G (usque a versu 176 circiter) et F, et in tota triade codicis T, quem ipse Triclinius conscripsit emendationibusque novis implevit. Lectiones Triclinianae hic illic etiam in codices Lc K Lh manaverunt.

Alii libri saeculis xiv–xvi conscripti, quotquot interdum citare placuit, infra recensentur.

Quae ratio inter codicum familias intercedat, non potest explicari. Omnes tamen patet ab uno pendere archetypo litteris minusculis saeculo ix vel x ineunte conscripto.

Scholiorum genera sunt quattuor: (Σ) scholia vetera, quae doctrinam aetatis Romanae reddunt quaeque imprimis in codicibus M I exstant. (Φ) Commentarius paraphrasticus in triadem, in multis libris traditus, saeculo fere xii ut videtur compositus. (Θ) Thomae Magistri scholia in triadem, sub finem saeculi xiii Thessalonicae composita. Horum vestigia exstant in codice O ad initium Promethei, apparentque deinceps in familia *ξ* et codicibus Q (post addita) Lc T K aliis. (T^{σ}) Triclinii scholia, praesertim de re metrica. – Interdum citantur scholia adespota e diversis libris (Σ*), quibus caute utendum est, quoniam non liquet quam antiqua sint.

Virorum doctorum nominibus in apparatu adhaerent plerumque numeri qui ad opera paginasque referant: clavem reperies in indice criticorum qui in editione maiore pp. LVII–LXXIX prostat, in hac minore autem propter amplitudinem non recipi potest.

INDEX SIGLORVM

FRAGMENTA PAPYRACEA

Π1	P. Oxy. 2179 + 2163 fr. 10 + novum (v. The Oxyrhynchus Papyri XX, 167), saec. ii: Sept. 155–64
Π2	P. Oxy. 2334, saec. ii: Sept. 498–503, 529–52
Π3	P. Oxy. 2333, saec. ii: Sept. 621–38, 644–56
Π4	P. Vindob. G 40458 (ZPE 40, 1980, 92), saec. ii: Supp. 586–90
Π5	P. Oxy. 2178, saec. ii: Ag. 7–17, 20–30
Π6	P. Oxy. 3838, saec. ii/iii: Prom. 122–32, 134

CODICES CONSTANTER IN PERS. SEPT. PROM. CITATI

M	Laur. 32.9, saec. x
I	Athous Ἰβήρων 209 (olim 161), saec. xiii/xiv
H	Heidelberg. Palat. gr. 18, saec. xiii (ca. 1270)
B	Laur. 31.3 + 86.3, ann. 1287
O	Lugd. Batav. Voss. gr. Q4A, saec. xiii ex.
Y	Lugd. Batav. Voss. gr. Q6, saec. xiv in.
A	Ambros. gr. C 222 inf. (886), saec. xiii (ca. 1270)
W	Vat. gr. 1332, saec. xiii (ca. 1290)
D	Ambros. gr. G 56 (399), saec. xiv in.
V	Marc. gr. 468 (653), saec. xiii (ca. 1270)
N	Matrit. gr. 4677, saec. xiii (ca. 1290)
Q	Par. gr. 2884, ann. 1301
K	Laur. conv. suppr. 11, saec. xiv (ca. 1330–40)
L	Laur. 32.2, saec. xiv (ca. 1310)

ALII CONSTANTER IN AGAM. ET EVM. CITATI

G	Marc. gr. 616 (663), saec. xiv (ca. 1321)
T	Neapol. II F 31, saec. xiv (ca. 1325)
F	Laur. 31.8, saec. xiv (ca. 1335–48)
E	Salmantic. Bibl. Univ. 233, saec. xv (ca. 1450–70): Eum.

ALII AD LIBITVM CITATI

Ba	Vat. Ottob. gr. 210, saec. xv
C	Par. gr. 2785, saec. xiv med.
Cb	Par. gr. 2790, saec. xvi
Δ	Mosqu. gr. 508, saec. xv
Fb	Vat. gr. 1824, saec. xiv (ca. 1315)
Fc	Ambros. gr. I 47 sup. (459), saec. xiv
Fd	Laur. 91 sup. 5, saec. xiv
Ga	Vat. Palat. gr. 287, saec. xiv (ca. 1310–20)
Ha	Matrit. gr. 4617, saec. xiv (ca. 1335)
La	Par. gr. 2786, saec. xiv med.
Lb	Rom. Vallicell. B 70, saec. xiv (ca. 1320)
Lc	Cantabr. Bibl. Univ. Nn III 17 A, saec. xiv (ca. 1320)
Lh	Cantabr. Bibl. Univ. Nn III 17 B, saec. xiv
Ma	Laur. S. Marco 222, saec. xiv in.
Mb	Bonon. Bibl. Univ. 2271, saec. xv
Mc	Guelferbytanus Gud. gr. 4° 88, saec. xv (ca. 1495)
Md	Scorial. T. I. 15, saec. xvi (ca. 1540)
Me	Par. gr. 2886, saec. xvi (ca. 1518–21)
Mf	Monac. gr. 546, saec. xvi
Nc	Laur. 28.25, saec. xiii ex.
Nd	Laur. 31.38, saec. xiv (ca. 1330–40)
Ξa	Par. suppl. gr. 110, saec. xiv (ca. 1340)
P	Par. gr. 2787, saec. xiv in.
Pd	Par. gr. 2789, saec. xv

R Vat. gr. 57, saec. xiv (ca. 1330)
Ra Oxon. Bibl. Bodl. Selden Supra 18, saec. xv
Rb Vat. gr. 2222, saec. xiv in.
Rc Laur. conv. suppr. 7, ann. 1344
Sd Par. gr. 2788, saec. xv
Si Par. gr. 2886 (= Me)
Sj Vat. gr. 58, saec. xv
U Lips. Rep. I.4.43, saec. xv
Ua Vat. Regin. gr. 155, saec. xv
Uc Monac. gr. 565, saec. xvi
Va Marc. gr. 470 (824), saec. xv med.
X Laur. 31.2, saec. xiii ex.
Xc Laur. conv. suppr. 98, ann. 1372
Ya Vindob. phil. gr. 197, ann. 1413
Yd Par. gr. 2782 A, saec. xvi
Ze Vindob. hist. gr. 122, saec. xvi
Zf Mosqu. gr. 505, saec. xv
Zh Guelferbytanus Gud. gr. 4° 88, saec. xv
Zi Vindob. phil. gr. 235, saec. xv

LIBRORVM FAMILIAE SIVE HYPARCHETYPA

α IBaΔ
β HB, accedunt interdum NcXRcC et in posteriore parte triadis Δ
γ OY, accedunt interdum LaYa
δ AWD, accedunt interdum ΞaLa
ε VN, accedunt saepe XPRbNdXc
κ QK, accedunt saepe LcRHa
λ LLa (Prom. Sept.) Lb (Sept. Pers.)
μ GaG
ξ Fb (> Fc) FdF
τ exemplar a Triclinio correctum unde pendet T et ex parte GFE

SIGLA CETERA

Ω	lectio omnium codicum vel utique archetypi
Σ	scholium vetus (Σ^{λ} scholii lemma; Σ_{I} scholium in cod. I)
Σ^{*}	scholium incertae aetatis
Φ	commentarius paraphrasticus in triadem, saec. fere xii
Θ	Thomae Magistri textus
T^{σ}	Triclinius in scholio suo
A^{1}, A^{2}	A a prima /ab altera manu correctus
A^{a}, A^{c}	A ante/post correctionem
$A^{a?}$, A^{a}?	A, fort. a.c./fort. A a.c.
A^{a2}, A^{as}	A ante correctionem ab altera manu/a scholiorum scriba factam
$A^{\times}$	A ante vel post correctionem (incertum utrum)
A^{gl}	glossema in A, vel lectio quasi glossema adscripta
$A^{\gamma\varrho}$	varia lectio cum γϱ. in A adscripta
A^{mg}	A in margine
A^{r}	A in rasura
A^{s}	A tum correctus cum scholia addita sunt
A^{ss}	lectio in A super lineam scripta
A^{t}	A in textu, altera lectione inter lineas vel in margine adscripta
A^{uv}	A ut videtur
A+	A cum alio quodam codice (vel plus uno) qui saepe ab eodem hyparchetypo pendet (cf. pp. VIII sqq.)
|||	littera erasa
*	littera obscura
ạ	littera quae α videtur esse
[ ]	textus periit
⌊ ⌋	papyrus periit

⟦ ⟧	delevit scriba
{ }	delenda censeo
〈 〉	inserenda censeo
〈XO.〉	nec personae nota nec paragraphus est in cod(d).
† †	corruptela non sanata
|	finis versus vel lineae
ci.	coniecit, coniectura
ss.	suprascripsit, cum suprascripto
u. v.	ut videtur

VIRORVM DOCTORVM NOMINA BREVIATA

Asul(anus)
Aur(atus)
Blomf(ield)
Casaub(onus)
Dind(orf, W.)
Rob(ortello)
Scal(iger)
Steph(anus)
Tricl(inius)
Turn(ebus)
Vict(orius)
Wil(amowitz)

ΠΕΡΣΑΙ

Ὑπόθεσις

Γλαῦκος ἐν τοῖς περὶ Αἰσχύλου μύθων ἐκ τῶν Φοινισσῶν φησι Φρυνίχου τοὺς Πέρσας παραπεποιῆσθαι· ὃς ἐκτίθησι καὶ τὴν ἀρχὴν τοῦ δράματος ταύτην,

τάδ' ἐστὶ Περσῶν τῶν πάλαι βεβηκότων

(TrGF 3 F 8). πλὴν ἐκεῖ εὐνοῦχός ἐστιν ἀγγέλλων ἐν ἀρχῆι τὴν Ξέρξου ἧτταν, στορνύς τε θρόνους τινὰς τοῖς τῆς ἀρχῆς παρέδροις· ἐνταῦθα δὲ προλογίζει χορὸς πρεσβυτῶν.

{τῶν δὲ χορ⟨ικ⟩ῶν τὰ μέν ἐστι παροδικά, ὅτε λέγει δι'ἣν αἰτίαν πάρεστιν, ὡς τὸ "Τύριον οἶδμα λιποῦσα" (Eur. Phoen. 202), τὰ δὲ στάσιμα, ὅτε ἵσταται καὶ ἄρχεται τῆς συμφορᾶς τοῦ δράματος, τὰ δὲ κομματικά, ὅτε λοιπὸν ἐν θρήνωι γίνεται.}

καὶ ἔστιν ἡ μὲν σκηνὴ τοῦ δράματος παρὰ τῶι τάφωι Δαρείου· ἡ δὲ ὑπόθεσις Ξέρξης στρατευσάμενος κατὰ

1 Γλαῦκος v. Jacoby RE VII 1418.46 μύθων M: μύθοις cett. 2 φρυνίχου φησὶ M*ε* ὃς om. M I *κ μ* (ἐκτ. δὲ I*μ*) 4 (περσ)ου D[ss] 5 μηνύων I 6 στορνύς M : στρωννύς cett. θρόνους πολλοὺς τοῖς V+ 7 προέδροις I*β* 9–13 secl. Blomf. 9 χορῶν *Ω* : corr. Wecklein ὡς ὅταν λέγῃ *β* O *δ* 12 post κομματικά deficit N 15 ὑπόθεσις τοιάδε· H: ὑπόθεσις αὕτη· OP[c]Rb

Ἑλλάδος {μετὰ δυνάμεως πολλῆς, ἵππον μὲν ἄμετρον ἐπαγόμενος, ναῦς δὲ χιλίας διακοσίας ἑπτά, ἢ δεκατέσσαρας,} καὶ πεζῆι μὲν ἐν Πλαταιαῖς νικηθείς, ναυτικῆι δὲ ἐν Σαλαμῖνι, διὰ Θεσσαλίας φεύγων {διεπεραιώθη} εἰς τὴν Ἀσίαν.

ἐπὶ Μένωνος (473/2) τραγωιδῶν Αἰσχύλος ἐνίκα Φινεῖ, Πέρσαις, Γλαύκωι Ποτνιεῖ, Προμηθεῖ.

τὰ τοῦ δράματος πρόσωπα
χορὸς γερόντων: Ἄτοσσα: ἄγγελος: εἴδωλον Δαρείου: Ξέρξης

16–18 μετὰ – δεκατέσσαρας deest in MIκ 19 καὶ διὰ Iβγ D + ἐν τῇ ἀσία ἐπεραιώθη V + : διεπ. del. Weil: ⟨καὶ⟩ διαπεραιωθεὶς Haupt 22 Ποτνιεῖ om. Mκ Προμηθεῖ sc. πυρκαεῖ ad 21–22 cf. IG II² 2318.1 sqq. (TrGF I DID A 1, paulo post 346 a.C. incisam) [ἐπὶ Μένωνος] ... | τραγωιδῶν | Περικλῆς Χολαρ(γεὺς) ἐχορή(γει) | Αἰσχύλος ἐδίδασκε 24 χορὸς πρεσβυτῶν I εἴδωλον Δαρείου] δαρεῖος IQ scholia de bello Persico breviora vel longiora post 20 et 22 subiungunt codd.

ΠΕΡΣΑΙ

ΧΟΡΟΣ

Τάδε μὲν Περσῶν τῶν οἰχομένων
Ἑλλάδ' ἐς αἶαν πιστὰ καλεῖται
καὶ τῶν ἀφνεῶν καὶ πολυχρύσων ἑδράνων φύλακες,
κατὰ πρεσβείαν οὓς αὐτὸς ἄναξ
Ξέρξης βασιλεὺς Δαρειογενὴς
εἵλετο χώρας ἐφορεύειν·
ἀμφὶ δὲ νόστωι τῶι βασιλείωι
καὶ πολυάνδρου στρατιᾶς ἤδη
κακόμαντις ἄγαν ὀρσολοπεῖται θυμὸς ἔσωθεν·
πᾶσα γὰρ ἰσχὺς Ἀσιατογενὴς
οἴχωκε, νέον δ' ἄνδρα βαΰζει,

2 (πιστὰ) Hsch. π 2367 7 (ἐφορ.) cf. Hsch. ε 7532, Phot. 10 (ὀρσ.) Hsch. ο 1331, Phot.

Codd. M I HB(= *β*) OY(= *γ*) AWD(= *δ*) VN [–746] (= *ε*) QK(= *κ*) LLb(= *λ*)

2 πιστὰ Σ[γρ]ΦI[×] Q[c]K[c] *λ*Θ: Πίστα Σ cett. Hsch. 3 τῶνδ' Roussel καὶ] τῶν B+ καὶ πολυχρύσων del. Bothe[2] 6 post Δαρειογενὴς gloss. δαρείου υἱὸς (υἱὸς δαρείου *λ*) in textu habent codd. praeter *κ* 7 χώραν *γ* 9 πολυάνδρου (73. 533) Wecklein[11]: πολυχρύσου (3) *Ω* (-ουσ M) 10 ὀρσολοπεῖται M Hsch.: ὀρσοπολ- fere cett. (ὀρθο- O[c]): ὀρσοπλῆται Phot. cod. 12 Ἀσιατι- Turn. (Ἀσιητι- Blomf.[6]) 13 οἴχωκεν ἑὸν Φ[γρ]IO[a], ᾤχηκεν ἑὸν Y δ' om. HO: lac. stat. Valckenaer[1] ad Pho. 1489–93: 11 ἔσωθεν δὲ βαΰζει et hic νέων tantum Hermann[32] (cf. Prien[3] 221): lac. post βαΰζει Mekler 5

κοὔτέ τις ἄγγελος οὔτέ τις ἱππεὺς
ἄστυ τὸ Περσῶν ἀφικνεῖται.
οἵτε τὸ Σούσων ἠδ᾽ Ἀγβατάνων
καὶ τὸ παλαιὸν Κίσσιον ἕρκος προλιπόντες ἔβαν,
τοὶ μὲν ἐφ᾽ ἵππων, τοὶ δ᾽ ἐπὶ ναῶν, πεζοί τε βάδην
πολέμου στῖφος παρέχοντες·
οἷος Ἀμίστρης ἠδ᾽ Ἀρταφρένης
καὶ Μεγαβάτης ἠδ᾽ Ἀστάσπης
ταγοὶ Περσῶν, βασιλῆς βασιλέως ὕποχοι μεγάλου,
σοῦνται στρατιᾶς πολλῆς ἔφοροι,
τοξοδάμαντές τ᾽ ἠδ᾽ ἱπποβάται,
φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην
ψυχῆς εὐτλήμονι δόξηι·
Ἀρτεμβάρης θ᾽ ἱππιοχάρμης καὶ Μασίστρης
ὅ τε τοξοδάμας ἐσθλὸς Ἰμαῖος Φαρανδάκης θ᾽
ἵππων τ᾽ ἐλατὴρ Σοσθάνης·
ἄλλους δ᾽ ὁ μέγας καὶ πολυθρέμμων Νεῖλος ἔπεμψεν·

16 cf. Hsch. ε 1290

14 κοὔτέ sic IβWKλ, κ᾽ οὔτέ M   οὔτέ sic IβδKλ, οὔτέ M 16 Ἀγβατ- Brunck[1] (de Ἀγβ- cogit. Kranz 86. 290): ἐκβατ- Ω. cf. ad 535. 961 17 κίσσιον H^{a} O + : κίσσινον cett. 18 sq. τοὶ … τοὶ Blomf.[14]: οἱ … οἱ Ω 20 πολέμω I^{γρ} D^{ss} 21 ἀμίστρης MBκλ, ἄμιστρις (320) I: ἀμνίστρης fere cett. ἀρταφέρνης M^{a}Iδκ 22 μεγαβάτης (983) μ: μεγαβάζης κλ: μεταβάτης cett. ἀστάσπης MΦIAD: ἀστάπης cett. 24 βασιλεῖς IβO^{a}δ 26 τ᾽ om. Iβγδ 28 εὐτλήμονι κΘ: ἐν τλήμονι Φ cett. (εὐτλ- R^{c} ex ὀτλ- u. v.) 30 Μασίστρης (971)] Μασίστης (Hdt. 7.82 etc.) Weil[11] 32 σοσθάνης MIY^{1}A^{1}Dκ: σωσθάνης Wε: σουσθάνης β: σοσθένης Y^{a}A^{a}: σωσθένης fere cett.

Σουσισκάνης, Πηγαστάγων Αἰγυπτογενὴς
ὅ τε τῆς ἱερᾶς Μέμφιδος ἄρχων μέγας Ἀρσάμης
τάς τ' ὠγυγίους Θήβας ἐφέπων Ἀριόμαρδος
καὶ ἑλειοβάται ναῶν ἐρέται
δεινοὶ πλῆθός τ' ἀνάριθμοι·
ἁβροδιαίτων δ' ἕπεται Λυδῶν
ὄχλος, οἵτ' ἐπίπαν ἠπειρογενὲς κατέχουσιν ἔθνος,
τοὺς Μιτραγάθης
Ἀρκτεύς τ'ἀγαθός, βασιλῆς δίοποι,
χαἰ πολύχρυσοι Σάρδεις ἐπόχους
πολλοῖς ἅρμασιν ἐξορμῶσιν,
δίρρυμά τε καὶ τρίρρυμα τέλη,
φοβερὰν ὄψιν προσιδέσθαι·
στεῦνται δ' ἱεροῦ Τμώλου πελάται
ζυγὸν ἀμφιβαλεῖν δούλιον Ἑλλάδι,
Μάρδων, Θάρυβις, λόγχης ἄκμονες καὶ ἀκοντισταὶ
Μυσοί· Βαβυλὼν δ' ἡ πολύχρυσος
πάμμικτον ὄχλον πέμπει σύρδην,

36 (ὅ τε – Ἀρσάκης) Phot. s. Μέμφιδος (fort. ex Ael. Dion., p. 254 Erbse) 44 (δίοποι) Hsch. δ 1898, Phot. δ 644, Eu. 99.1, 203.13, 1705.54 (v. etiam Radt ad fr. 232)

---

35 πηγας ταγων divisim (variis accentibus) Σ^{γρ} M^{a} I H^{a} A^{γρ}D: Πήγας, Πελάγων (959) Blomf.[6] αἰγυπτιογενὴς H *γ δ κ λ*: Αἰγυπτογενεῖς Weil[11] ('debuit τ' Αἰγ.' Dind.[12]) 37 ἀρσάκης (308^{v1}. 995) D Phot.: ἀρτάμης (318^{v1}) V^{a*}: ἀρσάψης Y^{c} 38 ὠγυγίας (contra Φ) H + O 40 ἀνάριθμον O^{a} *λ* (non Θ) 43 μιτραγαθὴς Q^{2}P^{ss}, μιτρογαθὴς Q *λ*: μητρα- Φ *β γ δ ε*: μητρο- M I O^{ss} K 44 ἀρκτεύς M I *γ* Q^{2} *λ*: ἀρκεύς Φ? cett. ἀγαθοὶ Pauw βασιλῆς M: -λεῖς fere cett. (-λῆες Q^{2}λ) δίοποι Σ M I Q^{a2} Eust.: δίοπτοι fere cett. (-αι O^{a}, cf. Σ) 45 χαἰ Blomf.[9]: καὶ *Ω* (gl. αἱ in nonnullis) 49 στεῦνται M^{a} Φ et plerique: στεῦται Σ M^{s} O^{a}? πελάτης Weil[15] 50 δούλιον O^{a}: -ειον cett. 54 φύρδην Schütz[2]

ναῶν τ' ἐπόχους καὶ τοξουλκῶι λήματι πιστούς·
τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης Ἀσίας ἕπεται
δειναῖς βασιλέως ὑπὸ πομπαῖς.
τοιόνδ' ἄνθος Περσίδος αἴας οἴχεται ἀνδρῶν,
οὓς περὶ πᾶσα χθὼν Ἀσιῆτις
θρέψασα πόθωι στένεται μαλερῶι,
τοκέες τ' ἄλοχοί τ' ἡμερολεγδὸν
τείνοντα χρόνον τρομέονται.

πεπέρακεν μὲν ὁ περσέπτολις ἤδη str. 1
βασίλειος στρατὸς εἰς ἀντίπορον γείτονα χώραν,
λινοδέσμωι σχεδίαι πορθμὸν ἀμείψας
Ἀθαμαντίδος Ἕλλας,
πολύγομφον ὅδισμα
ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου·

πολυάνδρου δ' Ἀσίας θούριος ἄρχων ant. 1
ἐπὶ πᾶσαν χθόνα ποιμανόριον θεῖον ἐλαύνει
διχόθεν, πεζονόμοις ἔκ τε θαλάσσας
ὀχυροῖσι πεποιθὼς
στυφέλοις ἐφέταις, χρυ-
σογόνου γενεᾶς ἰσόθεος φώς.

63 (ἡμερ.) Phot., Sud. η 308, Et.M. 429.40 65 resp. Eupol. fr. 207 K-A 74 (ποιμαν.) Eu. 212.42 79 (ἐφέταις) Hsch. ε 7418

56 μαχαιροφόνον Σ$_I^{γρ}$P^{r}Nd 61 πέρι λ: περ ἡ Y, περ TNd ἀσιᾶτις I 62 πόνω YRb (contra Φ) 63 τοκέης Blass[2] I 449 δ' B θ' ἡμερόλεγδον Ω testes: accentum corr. Goettling 343 71 ἔρεισμα Σ^{γρ} 76 πεζονόμους Schütz[2]: -νόμους τ' Voss: -νόμος τ' Blaydes[2] 77 θαλάσσης Ω: corr. Blomf.[2] 166 78 ἐχυροῖσι M^{t}κ (non Φ) 79 στυφελοῖς λ 80 χρυσογόνου Σ^{γρ}B^{γρ}W^{γρ}Q^{2γρ}: χρυσονόμου Ω (ex 76 corruptum)

κυ̣άνεον δ' ὄμμασι λεύσσων str. 2
φονίου δέργμα δράκοντος,
πολύχειρ καὶ πολυναύτας
Σύριόν θ' ἅρμα διώκων
ἐπάγει δουρικλυτοῖς ἀν-
δράσι τοξόδαμνον ἄ͂ρη·

δόκιμος δ' οὔτις ὑποστὰς ant. 2
μεγάλωι ῥεύματι φωτῶν
ὀχυροῖς ἕρκεσιν εἴργειν·
ἄμαχον κῦμα θαλάσσας.
ἀπρόσοιστος γὰρ ὁ Περσᾶν
στρατὸς ἀλκίφρων τε λαός.

θεόθεν γὰρ κατὰ Μοῖρ' ἐκράτησεν str. 3
τὸ παλαιόν, ἐπέσκηψε δὲ Πέρσαις
πολέμους πυργοδαΐκτους
διέπειν ἱππιοχάρμας
τε κλόνους πόλεών τ' ἀναστάσεις·

ἔμαθον δ' εὐρυπόροιο θαλάσσας ant. 3
πολιαινομένας πνεύματι λάβρωι

84 (Σύριον) Hsch. σ 2777 91 (ἀπρόσ.) Hsch. α 6849

81sq. κυανέου ... φόνιον Wakefield[1] 31 κυ̣α- potius quam -νε̣ο̣ν, cf. 559 φονίου O W[a] N Q[a2]: φοινίου cett. 84 σύριόν Σ M I[a]: ἀσ(σ)ύριόν cett. 85 δουρικλυτοῖς *μ* Fc: -κλύτοις *Ω* 86 ἄρη M I A *λ*: ἄρην Φ cett. 88 φωτῶν τάξεσιν οὐδ' ἄρα ἕρκεα ἴσχει (gl. + Il. 5.90 ap. Σ) H[a] *γδ* 89 ἐχυροῖς M I *κ* (non Φ) post εἴργειν interpungunt Y A V + *λ* (contra Σ Φ) 91 περσῶν *Ω*: corr. Blomf.[6] 102–13 huc trai. O. Müller[5] 107 τ' B[1] Y W[ss] Q[2] K: δ' M H O *δε* Q[a2] *λ*: om. I B[a] 108 τ' *κ*

†ἐσορᾶν† πόντιον ἄλσος,
πίσυνοι λεπτοδόμοις πείσ-
μασι λαοπόροις τε μαχαναῖς.

δολόμητιν δ' ἀπάταν θεοῦ epod.
τίς ἀνὴρ θνατὸς ἀλύξει;
τίς ὁ κραιπνῶι ποδὶ πηδή-
ματος εὐπετέος ἀνάσσων;
φιλόφρων γὰρ ⟨ποτι⟩σαίνουσα τὸ πρῶτον παράγει
βροτὸν εἰς ἀρκύστ⟨ατ⟩' Ἄτα·
τόθεν οὐκ ἔστιν ὑπὲρ θνατὸν ἀλύξαντα φυγεῖν.

ταῦτά μοι μελαγχίτων str. 4
φρὴν ἀμύσσεται φόβωι,
"ὀᾶ
Περσικοῦ στρατεύματος",
τοῦδε μὴ πόλις πύθη-
ται κένανδρον μέγ' ἄστυ Σουσίδος·

111 ἐσελᾶν Enger[8] 371, sed et hiatus molestus est: πνεύμασι λάβροισι περᾶν idem[0] 112 λεπτοδόμοις ΣΩ: -δόνοις X: -οθόνοις Bergk[7]: -τόμοις Madvig 195: -τόνοις Meineke[3] 234: -μίτοις Schütz[6] 113 μαχαναῖς Blomf.[6]: μηχ- Ω 93 δὲ πάγαν (R[a]?) Quincey[1] 182 94 ἄλυξεν Blaydes[2] 96 εὐπέτεος et Σ: -τέως B + N[2]: -τὴς Prien[3] 222 ἀναίσσων Turn. 97 ⟨ποτι⟩ σαίνουσα (et in Σ προ⟨σ⟩σαίνει) Hermann[32]: παρασαίνει (om. τὸ πρῶτον παράγει) Seidler[1] 407 n. 'communi studio cum Erfurdtio' 99 ἀρκύστατ' Ἄτα West[7] (ἄρκυας Ἄτα Hermann[13] 407 n. 1, ἀρκύτατ' Ἄτα Burges[0]): ἀρκύστατα Ω (ἀρκυσαητα O[a]): Ἄτην in contextu vel invenit vel intellexit Σ 100–1 ἔστιν ἀλ. φ. ὕπερθε θνατόν Hermann l. c. ut fiat responsio 93–6 ~ 97–101 (ὕπερθ' ἄνατον Broadhead[3]; ἄνατον iam Wecklein[11]) ὑπεκ I[γρ] (cf. Φ) 114 μου MIB + W[t]κ 116 (et 122) ὀᾶ ὀᾶ Weil[11]

καὶ τὸ Κισσίων πόλισμ' ant. 4
ἀντίδουπον ἄισεται,
"ὀᾶ",
τοῦτ' ἔπος γυναικοπλη-
θὴς ὅμιλος ἀπύων,
βυσσίνοις δ' ἐν πέπλοις πέσηι λακίς.

πᾶς γὰρ ἱππηλάτας str. 5
καὶ πεδοστιβὴς λεὼς
σμῆνος ὣς ἐκλέλοιπεν μελισ-
σᾶν ξὺν ὀρχάμωι στρατοῦ,
τὸν ἀμφίζευκτον ἐξαμείψας ἀμφοτέρας ἅλιον
πρῶνα κοινὸν αἴας.

λέκτρα δ' ἀνδρῶν πόθωι ant. 5
πίμπλαται δακρύμασιν·
Περσίδες δ' ἁβροπενθεῖς ἑκάσ-
τα πόθωι φιλάνορι
τὸν αἰχμάεντα θοῦρον εὐνατῆρ' ἀποπεμψαμένα
λείπεται μονόζυξ.

ἀλλ' ἄγε Πέρσαι,
τόδ' ἐνεζόμενοι στέγος ἀρχαῖον

125 cf. Hsch. λ 204

120 κισσίνων (contra Φ) *β*W Q[2] K Θ: κίσσιον P[ss] Ya 121 ἔσεται *Ω* (ἔσσεται B[a] V + *λ*): corr. Burney[1] 129 μελισσᾶν TF: -άων *μ*FcK: μέλισσα M Q[a], -αι Σ_M^{uv}: μελισσῶν fere cett. ξὺν Porson[1]: σὺν *Ω* 135 ἁβροπενθεῖς Σ Y: ἀκρο- cett. 136 τρόπωι Stadtmüller: πόνωι Margoliouth[1] 41 137 αἰχμάεντα *κ*: -ήεντα fere cett. (-ητάεντα V) 138 προπεμψ- *κ* 141 ἐφεζόμενοι (contra Φ) Y

φροντίδα κεδνὴν καὶ βαθύβουλον
θώμεθα· χρεία δὲ προσήκει·
πῶς ἄρα πράσσει Ξέρξης βασιλεὺς
Δανάης τε γόνου
τὸ παρωνύμιον γένος ἡμέτερον;
πότερον τόξου ῥῦμα τὸ νικῶν,
ἢ δορυκράνου λόγχης ἰσχὺς κεκράτηκεν;
ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς φάος ὁρμᾶται
μήτηρ βασιλέως, βασίλεια δ' ἐμή· προσπίτνω·
καὶ προσφθόγγοις δὲ χρεὼν αὐτὴν
πάντας μύθοισι προσαυδᾶν.

— ὦ βαθυζώνων ἄνασσα Περσίδων ὑπερτάτη,
μῆτερ ἡ Ξέρξου γεραιά, χαῖρε, Δαρείου γύναι·
θεοῦ μὲν εὐνάτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς –
εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατῶι.

ΒΑΣΙΛΕΙΑ

ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμους
καὶ τὸ Δαρείου τε κἀμὸν κοινὸν εὐνατήριον,
καί με καρδίαν ἀμύσσει φροντίς· εἰς δ' ὑμᾶς ἐρῶ

157 Tz. Hist. 7.357

---

144 Ξέρξης (cf. 6)] possis θεῖος 145 sq. Δανάης τε γόνου τὸ παρωνύμιον (cf. 80) West[7]: Δαρειογενὴς τὸ πατρωνύμιον fere *Ω* (-ώνυμον HB^{a}DQ^{c}): τὸ πατρ. del. Schütz[2], etiam γένος ἡμ. (et fort. Δαρ.) Butler ἡμέτερον C: ἁμ- fere *Ω* 148 ἢ *μ* δορικράνου IB + O*ε* 152 προσπίτνω προσκυνῶ MI (-πίτνῶ I): προσπιτνῶ cett.: προσπίτνωμεν Needham (-ῶμεν), Elmsley[0]: προπιτνῶμεν Roussel 157 εὐνάτειρα Y*ε*K*λ* Tz. (v.l. -νέ-): εὐνήτειρα MΦ cett. καὶ om. *βγδε* 158 στρατοῦ W^{ss}DQ 159 ΒΑΣΙΛΕΙΑ post Koechly[1] 132n. Wil.[12] 389: Ἄτοσσα *Ω* χρυσεοστόλμους MIHADΘ, -στάλμους N: -στόλβους V: -στίλβους WQ^{ss}*λ*: -στόλους B*γκ*

μῦθον οὐδαμῶς ἐμαυτῆς, οὐδ' ἀδείμαντος, φίλοι,
μὴ μέγας Πλοῦτος κονίσας οὖδας ἀντρέψηι ποδί
ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινος.
ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσίν,
μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῆι σέβειν
μήτ' ἀχρημάτοισι λάμπειν φῶς, ὅσον σθένος πάρα.
ἔστι γὰρ πλοῦτός γ' ἀμεμφής, ἀμφὶ δ' ὀφθαλμῶι φόβος·
ὄμμα γὰρ δόμων νομίζω δεσπότου παρουσίαν.
πρὸς τάδ', ὡς οὕτως ἐχόντων τῶνδε, σύμβουλοι λόγου
τοῦδέ μοι γένεσθε Πέρσαι, γηραλέα πιστώματα·
πάντα γὰρ τὰ κέδν' ἐν ὑμῖν ἐστί μοι βουλεύματα.
ΧΟ. εὖ τόδ' ἴσθι, γῆς ἄνασσα τῆσδε, μή σε δὶς φράσαι
μήτ' ἔπος μήτ' ἔργον, ὧν ἂν δύναμις ἡγεῖσθαι θέληι·
εὐμενεῖς γὰρ ὄντας ἥμας τῶνδε συμβούλους καλεῖς.
ΒΑ. πολλοῖς μὲν αἰεὶ νυκτέροις ὀνείρασι
ξύνειμ', ἀφ' οὗπερ παῖς ἐμὸς στείλας στρατόν
Ἰαόνων γῆν οἴχεται πέρσαι θέλων,
ἀλλ' οὔτί πω τοιόνδ' ἐναργὲς εἰδόμην
ὡς τῆς πάροιθεν εὐφρόνης· λέξω δέ σοι.
ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε,
ἣ μὲν πέπλοισι Περσικοῖς ἠσκημένη,
ἣ δ' αὖτε Δωρικοῖσιν, εἰς ὄψιν μολεῖν,
μεγέθει τε τῶν νῦν ἐκπρεπεστάτα πολύ

162 'sententiam non meam ipsius sed a maioribus acceptam', cf. Ag. 750. Cho. 314. Eur. fr. 484,1 οὐδὲ Q[ss], cf. Φ: οὐσ' Ω ἀδείματος Lc: ἄμαντις οὖσα δείματος Lawson[2] 4 163 Πότμος Lawson l.c. (cf. Pind. P. 3.86. N. 4.42, et ad Supp. 880) ἀνατρέψη *βγ*DNQ*λ* ποσὶ Y[c]: πέδοι Housman[1] 319/16 165 διπλῆ ad finem versus trai. Porson[2] xlviii 167 ἴσον O[c]: ὅσοις Blaydes[2] 168 ὀφθαλμῶι Heimsoeth[3] 72 cl. Σ* 168b: -μὸς Q: -μοῖς cett.: possis ὄμμασιν, cf. Cho. 671 et ad Sept. 403 171 γένεσθε fere MIH[ss]A[ss]W*κ*: γίν- cett. 173 φράσειν Elmsley[0] 175 ἧμᾶς Ω 176 αἰεὶ *τ*: ἀεὶ Ω 184 εὐπρεπ- I*β*YWDQ[a] -τάτω *β*O[a2]N?Q[ss]: -ταται Y: -τέρα Blaydes[2]

κάλλει τ' ἀμώμω, καὶ κασιγνήτα γένους
ταὐτοῦ· πάτραν δ' ἔναιον ἣ μὲν Ἑλλάδα
κλήρωι λαχοῦσα γαῖαν, ἣ δὲ βάρβαρον.
τούτω στάσιν τιν', ὡς ἐγὼ'δόκουν ὁρᾶν,
τεύχειν ἐν ἀλλήλησι· παῖς δ' ἐμὸς μαθὼν
κατεῖχε κἀπράϋνεν, ἅρμασιν δ' ὕπο
ζεύγνυσιν αὐτὼ καὶ λέπαδν' ὑπ' αὐχένων
τίθησι. χἣ μὲν τῆιδ' ἐπυργοῦτο στολῆι
ἐν ἡνίασί τ' εἶχεν εὔαρκτον στόμα,
ἣ δ' ἐσφάδᾳιζε, καὶ χεροῖν ἔντη δίφρου
διασπαράσσει καὶ ξυναρπάζει βίαι
ἄνευ χαλινῶν, καὶ ζυγὸν θραύει μέσον,
πίπτει δ' ἐμὸς παῖς. καὶ πατὴρ παρίσταται
Δαρεῖος οἰκτίρων σφε· τὸν δ' ὅπως ὁρᾶι
Ξέρξης, πέπλους ῥήγνυσιν ἀμφὶ σώματι.
  καὶ ταῦτα μὲν δὴ νυκτὸς εἰσιδεῖν λέγω.
ἐπεὶ δ' ἀνέστην καὶ χεροῖν καλλιρρόου
ἔψαυσα πηγῆς, ξὺν θυηπόλωι χερὶ
βωμὸν προσέστην, ἀποτρόποισι δαίμοσιν
θέλουσα θῦσαι πελανόν, ὧν τέλη τάδε·
ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἐσχάραν
Φοίβου· φόβωι δ' ἄφθογγος ἐστάθην φίλοι·
μεθύστερον δὲ κίρκον εἰσορῶ δρόμωι

195 cf. Hsch. δ 1327

---

185 ἀμώμωι M^1N κασιγνήτω (cf. Soph. El. 977) *βγ* Q^{ss}: -του $O^{a1}N^a$ 189 ἐν om. *γ*AD*ε* ἀλλήλη(ι)σι MAWV + *κ*L: -αισι *τ*, -αις Y: -οισι Θ cett. 191 αὐτὰ *τ* ὑπ M: ἐπ' Φ cett. 193 ἐν δ' B ἡνίασι v. praef.: ἡνίαισι(ν) *Ω* τ' IW^t: om. M*β*: δ' cett. 194 σφαδάζει Blaydes[2] ἐν τῆ (vel τῇ) *Ω*: corr. Scaliger δίφρου ΣΜΦΙO^a *λ*: δίφρον fere cett. (-ω D^t) 198 οἰκτείρων *Ω*: corr. Kirchhoff[1] 202 ξὺν Brunck[1]: σὺν *Ω* 203 βωμῶ *βε* 204 πέλανον *Ω* 205 ἀετὸν IY 207 δόμω· *λ*

πτεροῖς ἐφορμαίνοντα καὶ χηλαῖς κάρα
τίλλονθ'· ὃ δ' οὐδὲν ἄλλό γ' ἢ πτήξας δέμας
παρεῖχε. ταῦτ' ἐμοί τε δείματ' ἔστ' ἰδεῖν,
ὑμῖν τ' ἀκούειν. εὖ γὰρ ἴστε, παῖς ἐμός
πράξας μὲν εὖ θαυμαστὸς ἂν γένοιτ' ἀνήρ,
κακῶς δὲ πράξας – οὐχ ὑπεύθυνος πόληι,
σωθεὶς δ' ὁμοίως τῆσδε κοιρανεῖ χθονός.
ΧΟ. οὔ σε βουλόμεσθα μῆτερ οὔτ' ἄγαν φοβεῖν λόγοις
οὔτε θαρσύνειν· θεοὺς δὲ προστροπαῖς ἱκνουμένη,
εἴ τι φλαῦρον εἶδες, αἰτοῦ τῶνδ' ἀποτροπὴν τελεῖν,
τὰ δ'ἀγάθ' ἐκτελῆ γενέσθαι σοί τε καὶ τέκνοις σέθεν
καὶ πόληι φίλοις τε πᾶσι. δεύτερον δὲ χρὴ χοάς
Γῆι τε καὶ φθιτοῖς χέασθαι· πρευμενῶς δ'αἰτοῦ τάδε,
σὸν πόσιν Δαρεῖον, ὅνπερ φὴις ἰδεῖν κατ' εὐφρόνην,
ἐσθλά σοι πέμπειν τέκνωι τε γῆς ἔνερθεν εἰς φάος,
τἄμπαλιν δὲ τῶνδε γαίαι κάτοχα μαυροῦσθαι σκότωι.
ταῦτα θυμόμαντις ὤν σοι πρευμενῶς παρήινεσα·
εὖ δὲ πανταχῆι τελεῖν σοι τῶνδε κρίνομεν πέρι.
ΒΑ. ἀλλὰ μὴν εὔνους γ' ὁ πρῶτος τῶνδ' ἐνυπνίων κριτὴς
παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδε κυρώσας φάτιν.

224 (θυμ.) Hsch. θ 888, Phot.

---

208 πτεροῖν Lh^{a2} 210 τῷ κίρκῳ τύπτεσθαι παρεῖχε W (τύπτε) ε ἐμοί τε Blomf.[6]: ἐμοὶ AD: ἔμοιγε cett. ἔστ'] εσ M, ἐς V^{a*}: ἐστ' ἐσ- N^{r}+: εἰσ- Hartung 211 τ' κλ: δ' cett. 213 πέλει I^{r}, πόλει cett. v. praef. 215 λόγῳ κ (non Φ) 217 λαβεῖν ελ (non Φ): βαλεῖν $K^{γρ}$: om. D 218 τὰ δ' ἀγαθὰ Oλ: τὰ δ' ἀγαθὰ δ' MW: τὰ δ' ἀγαθά γ' κ: τὰ ἀγαθὰ δ' H+, τἀγαθὰ δ' cett.: ἀγαθὰ δ' Prien[3] 219: τἀσθλὰ δ' Zakas τέκνοις (cf. 717.754)] τέκνῳ IW, τῷ Ξέρξῃ Φ 219 πόλει Ω 220 θνητοῖς BD χέεσθαι H^{r}+ O^{a}?D πρευμενῆ H^{c}BVQ^{ss}: -ῆς N 223 κάτοχ' ἀμ- Ω: ut supra Blomf.[6] 224 πρευμενὴς Blomf.[6] 226 γ' om. Iβ 227 παισὶ O^{2}YQ^{ss}λ, cf. 218 τήνδε κυρώσας Naber[2] 77: τήνδ' ἐκύρωσας Ω

ἐκτελοῖτο δὴ τὰ χρηστά· ταῦτα δ' ὡς ἐφίεσαι
πάντα θήσομεν θεοῖσι τοῖς τ' ἔνερθε γῆς φίλοις
εὖτ' ἂν εἰς οἴκους μόλωμεν. κεῖνο δ' ἐκμαθεῖν θέλω
ὦ φίλοι· ποῦ τὰς Ἀθήνας φασὶν ἱδρῦσθαι χθονός;
ΧΟ. τῆλε πρὸς δυσμαῖς ἄνακτος Ἡλίου φθινασμάτων.
ΒΑ. ἀλλὰ μὴν ἵμειρ' ἐμὸς παῖς τήνδε θηρᾶσαι πόλιν;
ΧΟ. πᾶσα γὰρ γένοιτ' ἂν Ἑλλὰς βασιλέως ὑπήκοος.
ΒΑ. ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπλήθεια στρατοῦ;
ΧΟ. καὶ στρατὸς τοιοῦτος, ἔρξας πολλὰ δὴ Μήδους κακά.
ΒΑ. καὶ τί πρὸς τούτοισιν ἄλλο; πλοῦτος ἐξαρκὴς δόμοις;
ΧΟ. ἀργύρου πηγή τις αὐτοῖς ἐστι, θησαυρὸς χθονός.
ΒΑ. πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ χερῶν αὐτοῖς πρέπει;
ΧΟ. οὐδαμῶς· ἔγχη σταδαῖα καὶ φεράσπιδες σαγαί.
ΒΑ. τίς δὲ ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατῷ;
ΧΟ. οὔτινος δοῦλοι κέκληνται φωτὸς οὐδ' ὑπήκοοι.
ΒΑ. πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας;
ΧΟ. ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατόν.
ΒΑ. δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι.

232 (Ἡλ. –) Eu. 698.24, 832.45; cf. Hsch. φ 397 241 (ποιμ.) Hsch. π 2724, Phot., Eu. 212.42

---

228 ἐξιλεοῖτο H^{c}(-λα-) B O^{g1} Y A D *ε* δὴ Q^{a}? T: δὲ *Ω* 229 θύσομεν B D^{t} τοῖσδ' *β* τε νέρθε T 230 κεῖνο Y^{c}: κεῖνα cett. 232 δυσμὰς H^{c} B Y + *κ* (non Φ) φθινάσμασιν Pauw (et θ' Ἡλίου Blomf.) cl. Hsch. (cf. et fr. 275,2) 235 ἀνδροπληθία D λεὼ Dawe[1] 11 n. post h.v. lac. stat. Pohlenz[2] II 15 (= 29) 236 ἔρξαι Bothe[2] 239 γὰρ] cf. Denniston[3] 82: ante h.v. fort. deest distichum: 239–40 post 236 trai. Trendelenburg, poterat et post 244 χερῶν N, cf. Φ: χερὸς fere cett.: χεροῖν Elmsley[5] ad Med. 1334 240 σαγαί] χέρες O A^{γρ} 241 ποιμάντωρ Rb Ha, -άτωρ Y (contra Φ et testes) στρατοῦ D^{t} V^{1} + *κ λ* 244 ὥς γε Weil[15], poterat et πολύν γε 245 κιόντων Wecklein[11] τοκεῦσι (63. Eum. 497) Stanley[2]

ΧΟ. ἀλλ' ἐμοὶ δοκεῖν τάχ' εἴσηι πάντα ναμερτῆ λόγον·
τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν,
καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλυεῖν.

ΑΓΓΕΛΟΣ

ὦ γῆς ἁπάσης Ἀσίδος πολίσματα,
ὦ Περσὶς αἶα καὶ πολὺς πλούτου λιμήν,
ὡς ἐν μιᾶι πληγῆι κατέφθαρται πολὺς
ὄλβος, τὸ Περσῶν δ' ἄνθος οἴχεται πεσόν.
ὤιμοι, κακὸν μὲν πρῶτον ἀγγέλλειν κακά·
ὅμως δ' ἀνάγκη πᾶν ἀναπτύξαι πάθος,
Πέρσαι· στρατὸς γὰρ πᾶς ὄλωλε βαρβάρων.

ΧΟ. ἄνια ἄνια {κακά}, νεόκοτα καὶ — str. 1
δάϊ'· αἰαῖ, διαίνεσθε Πέρ-
σαι τόδ' ἄχος κλύοντες.
ΑΓ. ὡς πάντα γ' ἔστ' ἐκεῖνα διαπεπραγμένα·
καὐτὸς δ' ἀέλπτως νόστιμον βλέπω φάος.

ΧΟ. ἦ μακροβίοτος ὅδε γέ τις αἰ- — ant. 1
ὼν ἐφάνθη γεραιοῖς, ἀκού-
ειν τόδε πῆμ' ἄελπτον.

246 δοκεῖν MI^{a}WQ^{1}Kλ: δοκεῖ cett. ναμερτῆ Porson^{1} cl. Soph. Tr. 173 (cf. Björck 230): νημαρτῆ M^{a}: νημερτῆ cett. νημερτεῖ λόγῳ P$^{\gamma\rho}$, λόγῳ et H 247 δρόμημα IβY^{c} + W 248 καὶ] εἰ Q^{c}K κλυεῖν Rose: κλύειν Ω 249 ἀσίδος λ: ἀσιάτιδος IWV: ἀσιάδος cett. 250 πολὺς] μέγας (Eur. Or. 1077) Nauck^{2} 25: βαθὺς Heimsoeth^{0} 253 ὤιμοι M: ὤμοι cett. Soph. Ant. 277 στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν laudant ΣΦ, in textu post 252 ferunt N^{2}C^{a}Ya, post 253 RbLb^{c}Nd, post 254 λ (qui 253 om.) 256 ἄνια ἄνια γA$\varepsilon\lambda$ (cf. 1055 ~ 1061): ἄνι' ἄνια cett. κακὰ] καὶ HXc: κακὰ λυπηρὰ λυπηρὰ ε: del. Prien^{3} 228 (cf. ad 1055) νεότοκα λ 259 κλυόντες Wil.^{19} 260 ἔσται βO: ἴστ' (cf. Soph. Ph. 567) Doederlein^{0} κεῖνα βN 261 δ' om. Iβ: γε Lh$^{c?}$ ἄελπτος I^{t} 264 ἐφαάνθη I$\delta\varepsilon\kappa\lambda$: ἐφάνη HQ^{1}

ΑΓ. καὶ μὴν παρών γε κοὐ λόγους ἄλλων κλυών,
Πέρσαι, φράσαιμ' ἂν οἷ' ἐπορσύνθη κακά.

ΧΟ. ὀτοτοτοῖ, μάταν str. 2
τὰ πολλὰ βέλεα παμμιγῆ
γᾶς ἀπ' Ἀσίδος ἦλθ' ἐπ' αἶαν
Δίαν, Ἑλλάδα χώραν.
ΑΓ. πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων
Σαλαμῖνος ἀκταὶ πᾶς τε πρόσχωρος τόπος.

ΧΟ. ὀτοτοτοῖ, φίλων ant. 2
ἁλίδονα †σώματα πολυβαφῆ†
κατθανόντα λέγεις φέρεσθαι
πλαγκτοῖς ἐν διπλάκεσσιν.
ΑΓ. οὐδὲν γὰρ ἤρκει τόξα, πᾶς δ' ἀπώλλυτο
λεὼς δαμασθεὶς ναΐοισιν ἐμβολαῖς.

ΧΟ. ἴυζ' ἄποτμον βοάν str. 3
δυσαιανῆ †Πέρσαις δαΐοις†,
ὡς πάνται παγκάκως

266 γε O V + Q^{c}K*λ*: τε cett. (γε π. τε Y) κλυών Kueck 14: κλύων *Ω* 268 ὀτοτοτοῖ Porson[1]: ὀτοτοί A, ὀτοτοῖ τοῖ M O, ὀττοτοτοῖ Ga, varie cett. (ὀττο- omnes) 269 πολέα Lachmann[1] 89 n. τέλεα Meineke[3] 235 270 ἀσιάδος *β* O Q^{1}*λ* 271 Iovis filius Hellen 272 δυσπότμων Q^{ss} K^{ss} 274 ὀτοτοτοῖ M I, ὀττοτοτοὶ V: ὀττοτοίτοι O*δκ*: ὀττοτοῖ fere cett. 275 πολύδονα σώμαθ' ἁλιβαφῆ Prien[3] 229 (contra Σ): ἁλίδονα γυῖα πολυβαφῆ D'Arnaud 204: ἁλ. μέλεα παμβαφῆ Kayser 277 πλακταῖς O, πλαγταῖς K πλ. δεῖπνα δάκεσσιν Palmer 278 δόξα D ἀπώλετο O 279 λεὼς $Q^{2γρ}$*λ*: στρατὸς cett. cf. Dawe[1] 11.135 ναΐησιν I N^{ss} + *κ* ἐν βολαῖσ M 280 fort. ἀπότμοις ἄπ. δαΐοις δυσ. βοάν (deleto Πέρσαις) Hermann[32], cf. antistr. 281 gl. ad 286? fort. φίλοις vel θεοῖς (cf. Supp. 809) 282 πάνται Hermann[32]: πάντα *Ω*: πάντα Πέρσαις Page[3] πᾶν κακῶς Murray[1]

⟨θεοὶ⟩ θέσαν· αἰαῖ στρατοῦ φθαρέντος.
ΑΓ. ὦ πλεῖστον ἔχθος ὄνομα Σαλαμῖνος κλύειν·
φεῦ, τῶν Ἀθηνῶν ὡς στένω μεμνημένος.

ΧΟ. στυγναί γε δὴ δαΐοις· ant. 3
μεμνῆσθαί τοι πάρα,
ὡς πολλοὺς σπερμάτων
εὔνιδας ἔκτισσαν ἠδ' ἀνάνδρους.

ΒΑ. σιγῶ πάλαι δύστηνος ἐκπεπληγμένη
κακοῖς· ὑπερβάλλει γὰρ ἥδε συμφορά,
τὸ μήτε λέξαι μήτ' ἐρωτῆσαι πάθη.
ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν
θεῶν διδόντων· πᾶν δ' ἀναπτύξας πάθος
λέξον καταστάς, κεἰ στένεις κακοῖς ὅμως.
τίς οὐ τέθνηκε, τίνα δὲ καὶ πενθήσομεν
τῶν ἀρχελείων, ὅστ' ἐπὶ σκηπτουχίαι
ταχθεὶς ἄνανδρον τάξιν ἠρήμου θανών;
ΑΓ. Ξέρξης μὲν αὐτὸς ζῆι τε καὶ φάος βλέπει.
ΒΑ. ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα
καὶ λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου.

299 sch. Ar. Ran. 1028

---

283 θεοὶ θέσαν Heimsoeth[1] 376 praeeunte Hermann[18] 231.706: ἔθεσαν *Ω* (ἔθεσαν θεοὶ Y, οἱ θεοὶ β^{g1}, cf. Φ): πᾶν θέσαν Wil.[19] 284 ἄχθος $P^{\gamma\rho}$ 286 γε δὴ Conradt[2]: γ' ἀθᾶναι fere codd. (δ' *β*YAD*κλ*, θ' V, om. W; ἀθῆναι MYAD*ε*) 288 πολλοὺς σπερμάτων West[7]: πολλὰς περσίδων μάταν *Ω*: μάταν del. Heimsoeth[1] 376: Περσίδων πολλὰς ἄγαν Weil[11] 289 εὔνιδας ἔκτισσαν Boeckh 12: ἔκτισαν εὔνιδας *Ω* (εὐνίδας O + *δ* V^a +) 293 βροτοὺς B + O + 294 δ' del. Headlam[6] 190 297 ἀρχελάων O + ὥστ' $\Phi^{\gamma\rho}$ B^a O^a D $\Theta^{\gamma\rho}$ 298 ἄναρχον O 299 βλέπει φάος sch. Ar.

ΑΓ. Ἀρτεμβάρης δὲ μυρίας ἵππου βραβεὺς
στύφλους παρ' ἀκτὰς θείνεται Σιληνιῶν·
χὠ χιλίαρχος Δαδάκης πληγῆι δορὸς
πήδημα κοῦφον ἐκ νεὼς ἀφήλατο·
Τενάγων τ' ἄριστος Βακτρίων ἰθαγενὴς
θαλασσόπληκτον νῆσον Αἴαντος πολεῖ.
Λίλαιος Ἀρσάμης τε κἈργήστης τρίτος,
οἵδ' ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα
νικώμενοι κύρισσον ἰσχυρὰν χθόνα,
πηγαῖς τε Νείλου γειτονῶν Αἰγυπτίου
313 Φαρνοῦχος, οἵ τε ναὸς ἐκ μιᾶς πέσον
312 Ἀρκτεύς, Ἀδεύης, καὶ Φερεσσεύης τρίτος.
Χρυσεὺς Μάταλλος μυριόνταρχος θανὼν
|ἵππου μελαίνης ἡγεμὼν τρισμυρίας|
πυρσὴν ζαπληθῆ δάσκιον γενειάδα
ἔτεγγ', ἀμείβων χρῶτα πορφυρᾶι βαφῆι,

303 cf. Hsch. σ 640 309 cf. Hsch. π 1307

303 σιληνιῶν MO+W (cf. Σ, Hsch.): σιληνίων fere cett. (σειλ- B[a]Y[ss], σηλ- D) 304 χιλιάρχης *κλ* (non Φ) δαρδάκης Y+K*λ*: δανδάκης H[c]D 306 τανάγων V (sed τεν- id. in Φ[λ]): Πελάγων (959, cf. ad 35) Hartung ἀριστεὺς Blomf.[6] ἰθαιγενὴς MK[a] 307 θαλασσόπλακτον VRb, -πλαγκτον Σ$_{I}$[γρ] N[r] (non Θ): -πλαγκτος P[ss] σποδεῖ Emperius[0] 308 Λιλαῖος Lehrs, cf. ad 970 ἀρσάκης (995) La[a]? et κάρσάκης pro κἀργήστης Y κἀργίστης *β*: -ήτης D: -έστης Rb 309 οἳ δ' agn. Σ* 308b 310 κυκώμενοι O+: μυκώμενοι Zakas 313 ante 312 trai. Merkel[3] οἵ γε Y+: οἵδε V[a]*κλ* 312 φερεσ(σ)εύης *δεκ*, φερεσσέβης O: φαρεσσεύης *λ*: φρεσσεύης *β*, φρεσεύης M, φρεπεύης I: φερσεύης Y: φερεσσακὴς Bothe[1] 314 μέταλλος (contra Φ) Y+W*κλ* 315 loco videtur stare non suo: ante 314 trai. Heimsoeth[2] 73, post 318 Weil[11]: post 314 lac. stat. Wil.[15] 316 πυρ(ρ)ὰν Σ*Ω*: corr. Porson[1] 317 πορφυρᾷ Rb: -ρέα fere cett.

καὶ Μάγος Ἄρᾱβος Ἀρτάβης τε Βάκτριος
σκληρᾶς μέτοικος γῆς ἐκεῖ κατέφθιτο.
Ἄμιστρις Ἀμφιστρεύς τε πολύπονον δόρυ
νωμῶν, ὅ τ' ἐσθλὸς Ἀριόμαρδος, Σάρδεσιν
πένθος παρασχών, Σεισάμης θ' ὁ Μύσιος,
Θάρυβίς τε πεντήκοντα πεντάκις νεῶν
ταγός, γένος Λυρναῖος, εὐειδὴς ἀνήρ,
κεῖται θανὼν δείλαιος οὐ μάλ' εὐτυχῶς·
Συέννεσίς τε, πρῶτος εἰς εὐψυχίαν,
Κιλίκων ἄπαρχος, εἷς ἀνὴρ πλεῖστον πόνον
ἐχθροῖς παρασχών, εὐκλεῶς ἀπώλετο.
τοσόνδέ ⟨γ'⟩ ἀρχόντων ὑπεμνήσθην πέρι·
πολλῶν παρόντων δ' ὀλίγ' ἀπαγγέλλω κακά.
ΒΑ. αἰαῖ, κακῶν ὕψιστα δὴ κλύω τάδε,
αἴσχη τε Πέρσαις καὶ λιγέα κωκύματα.
ἀτὰρ φράσον μοι τοῦτ' ἀναστρέψας πάλιν·

324 (Λυρν.) St. Byz. 423.8

---

318 Μάγος et Σ: μάγας H^{2}: μάρδος Y: μᾶγος Turn.: an κἀΙμαῖος? Ἄραβος] ἄρᾱβος sic T: ἄραθος *λ*: Ἄραμβος Weil^{15} ἀρτάβης MH^{c}O + AD*λ*: ἀρτάρης Y: ἀρσάμης (308) *κ*: ἀρτάμης I*β*W*ε*Q^{a} 319 μέτοικος et ΣΦ: ἔποικος *κλ* 321 post Ἀριόμαρδος lac. stat. Porson^{2} xxxviii δάρδεσι Sl (teste Hermann): ἄρδεσι Bothe^{2} 322 σεισάμης MP^{t}T (cf. Kretschmer Die gr. Vaseninschr. 117 n.1 [ARV 1407] σεισαμης Persa): σισάμης *κλ*: σησάμης I^{ss}*β*O: εἰρσάμης I^{t}: σεισάρμης fere cett. (σεικσ- W, συσ- D). cf. ad 983 θ' *κ*: om. cett. 326 σύννεσις MO, σύνεσις fere cett.: corr. Turn. ex Hdt. 7.98 πρῶτος αὐτὸς *κλ* metri causa 327 ἔπαρχος *β*N$^{\times}$ K*λ* (non Θ): ὕπαρχος Blomf.^{6} φόνον W 328 εὐκλεῶς et Φ: εὐτυχῶς (325) YD: νηλεῶς P^{γρ}, ἀνηλεῶς Q^{2γρ}K^{γρ}: δυσκλεῶς Q^{a}?Ga^{γρ} 329 τοσόνδε Heimsoeth^{2} 34: τοιῶνδ(ε) *Ω*: τόσον μὲν Wil.^{15} γ' add. *τ* ἀρχόντων νῦν codd. praeter MOQ^{a}*τ* ἐπεμνήσθην Herwerden^{5} 126 330 δ' om. MD ἀπαγγέλ(λ)ων YD 331 κακῶν δ' W

πόσον νεῶν δὴ πλῆθος ἦν Ἑλληνίδων,
ὥστ' ἀξιῶσαι Περσικῶι στρατεύματι
μάχην ξυνάψαι ναΐοισιν ἐμβολαῖς;
ΑΓ. πλήθους μὲν ἂν σάφ' ἴσθ' ἕκατι βαρβάρων
ναῦς ἂν κρατῆσαι· καὶ γὰρ Ἕλλησιν μὲν ἦν
ὁ πᾶς ἀριθμὸς εἰς τριακάδας δέκα
ναῶν, δεκὰς δ' ἦν τῶνδε χωρὶς ἔκκριτος·
Ξέρξηι δέ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν
ὧν ἦγε πλῆθος, αἱ δ' ὑπέρκοποι τάχει
ἑκατὸν δὶς ἦσαν ἑπτά θ'· ὧδ' ἔχει λόγος.
μή σοι δοκοῦμεν τῆιδε λειφθῆναι μάχης;
ἀλλ' ὧδε δαίμων τις κατέφθειρε στρατόν,
τάλαντα βρίσας οὐκ ἰσορρόπωι τύχηι·
θεοὶ πόλιν σώιζουσι Παλλάδος θεᾶς.
ΒΑ. ἔτ' ἄρ' Ἀθηνῶν ἔστ' ἀπόρθητος πόλις;
ΑΓ. ἀνδρῶν γὰρ ὄντων ἕρκός ἐστιν ἀσφαλές.
ΒΑ. ἀρχὴ δὲ ναυσὶ ξυμβολῆς τίς ἦν φράσον·
τίνες κατῆρξαν, πότερον Ἕλληνες, μάχης,
ἢ παῖς ἐμός, πλήθει καταυχήσας νεῶν;

338 (καὶ γὰρ –) –43 Tz. sch. Hist. 1.978 p. 555 L.; 341–3 Plut. Themist. 14.1

---

334 πόσον νεῶν δὴ πλῆθος ἦν Musgrave (νεῶν πόσον δὴ Weil[11], ναῶν Murray[1]): πόσον δὴ (δὲ W*κλ*) πλῆθος ἦν νεῶν *Ω* τοσόνδε Bothe[2] 336 ξυνάψαι K: συν- cett. ναΐησιν Y + *κ*: δαΐοισι(ν) *β*D συμβολαῖς *β* 337 βαρβάρων Σ*Ω*: βάρβαρον Heath: βαρβάρους Turn. 338 ναῦς ἂν Heimsoeth[2] 81: ναυσὶ *Ω* 342 non aliter Plut. ὑπέρκομποι *Ω* Plut. Tz.: corr. Wakefield[0] 344 δοκῶμεν W[a]K ληφθῆναι M*β*N[2] μάχης Todt[5] 565: μάχη(ι) *Ω* 345 ἄλλος δὲ Burges[8] 190, poterat et ἄλλως δὲ 347 nuntio continuavit Wellauer[2]: paragr. in M, Atossae trib. plerique h. v. post 348 trai. Dind.[7] ([11] lxii) θεοὶ ⟨γὰρ⟩ Hartung: θεοί ⟨τοι⟩ Blaydes[2] 350 ξυμβολῆς Porson[1]: συμ- *Ω* 351 πρότερον N +

ΑΓ. ἦρξεν μὲν ὦ δέσποινα τοῦ παντὸς κακοῦ
φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν.
ἀνὴρ γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ
ἐλθὼν ἔλεξε παιδὶ σῶι Ξέρξηι τάδε,
ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας,
Ἕλληνες οὐ μενοῖεν, ἀλλὰ σέλμασιν
ναῶν ἐπανθορόντες ἄλλος ἄλλοσε
δρασμῶι κρυφαίωι βίοτον ἐκσωσοίατο.
ὃ δ' εὐθὺς ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον
Ἕλληνος ἀνδρὸς οὐδὲ τὸν θεῶν φθόνον,
πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον·
εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα
λήξηι, κνέφας δὲ τέμενος αἰθέρος λάβηι,
τάξαι νεῶν στῖφος μὲν ἐν στοίχοις τρισίν
ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιρρόθους,
ἄλλας δὲ κύκλωι νῆσον Αἴαντος πέριξ,
ὡς εἰ μόρον φευξοίαθ' Ἕλληνες κακόν,
ναυσὶν κρυφαίως δρασμὸν εὑρόντες τινά,
πᾶσι στέρεσθαι κρατὸς ἦν προκείμενον.
τοσαῦτ' ἔλεξε, κάρθ' ὑπ' εὐθύμου φρενός·
οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο·
οἳ δ' οὐκ ἀκόσμως ἀλλὰ πειθάρχωι φρενί
δεῖπνόν ⟨τ'⟩ ἐπορσύνοντο, ναυβάτης τ' ἀνήρ
τροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον.

375 cf. Hsch. ν 114

---

358 μένοιεν Ω: corr. Monk[3] 359 νεῶν ΙΥΑ ἐπενθορ- Q^{a2} 360 ἐκσωσαίατο Ω (-τον H^{a}D): corr. Monk[3] 362 τῶν M^{a1}γDQ^{a1} 363 προφωνεῖ MQ^{c}λ: προσφωνεῖ cett. ναυάρχαις Q^{1}λ 366 στοίχοις MH^{a}OWκ: στίχοις cett. 367 post 368 Koechly 370 νηυσὶν M 372 ὑπ' εὐθύμου MΦΙH^{a}?O (ἐθ-) A: ὑπερθύμου fere cett. ἀπ' Blaydes[2] 375 τ' prius add. T τ' alt.] δ' Dελ: om. Y

ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο
καὶ νὺξ ἐπήιει, πᾶς ἀνὴρ κώπης ἄναξ
εἰς ναῦν ἐχώρει πᾶς θ' ὅπλων ἐπιστάτης,
τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς,
πλέουσι δ' ὡς ἕκαστος ἦν τεταγμένος·
καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν
ναῶν ἄνακτες πάντα ναυτικὸν λεών.
καὶ νὺξ ἐχώρει, κοὐ μάλ' Ἑλλήνων στρατός
κρυφαῖον ἔκπλουν οὐδαμῆι καθίστατο·
ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα
πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν,
πρῶτον μὲν ἠχῆι κέλαδος Ἑλλήνων πάρα
μολπηδὸν ηὐφήμησεν, ὄρθιον δ' ἅμα
ἀντηλάλαξε νησιώτιδος πέτρας
ἠχώ· φόβος δὲ πᾶσι βαρβάροις παρῆν
γνώμης ἀποσφαλεῖσιν· οὐ γὰρ ὡς φυγῆι
παιῶν' ἐφύμνουν σεμνὸν Ἕλληνες τότε,
ἀλλ' εἰς μάχην ὁρμῶντες εὐψύχωι θράσει·
σάλπιγξ δ' ἀϋτῆι πάντ' ἐκεῖν' ἐπέφλεγεν.
εὐθὺς δὲ κώπης ῥοθιάδος ξυνεμβολῆι
ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύματος,
θοῶς δὲ πάντες ἦισαν, ἐκφανεῖς ἰδεῖν·

379 δ' *Mβγ*W*κλ* 384 κοὐδάμ' Blaydes[3] 196 385 οὐδαμῶς Y+AD: -μοῦ W 388 ἠχεῖ HOD: ἠχοῖ K[r]*λ*: ἠχῆς (debuit -ῆς, = -ήεις) Abresch I 199: ἤχει ... πάρα· Wecklein[3] 74 389 εὐφήμησεν fere *Ω* (-σαν Rc[2]): corr. Brunck[1] ὄρθριον *κ* 390 ἀντηλάλαζε D 393 παιᾶν' *Ω*: corr. Broadhead[3] (cf. Wil.[20] II 339) εὐφήμουν H[a]B[γρ]*κλ*, ἐφήμουν H[1]DQ[a] 394 δρῶντες GaFc[t]K[γρ] 395 ἀϋτεῖ O[a]Y[t] ὑπέφλεγεν *ε*: ὑπερέφλεγεν Φ (codd. plerique) 396 εὐθὺς] ἐπεὶ (386) V[r]Va ξὺν ἐμβολῇ IB+K (non Φ) 397 κελεύματος M*β*YD: κελεύσματος cett. 398 ἧισαν Φ[γρ]I: ἦσαν cett. ἐμφανεῖς *τ*[t]

τὸ δεξιὸν μὲν πρῶτον εὐτάκτως κέρας
ἡγεῖτο κόσμωι, δεύτερον δ' ὁ πᾶς στόλος
ἐπεξεχώρει. καὶ παρῆν ὁμοῦ κλύειν
πολλὴν βοήν· "ὦ παῖδες Ἑλλήνων, ἴτε,
ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δέ
παῖδας γυναῖκας θεῶν τε πατρώιων ἕδη
θήκας τε προγόνων· νῦν ὑπὲρ πάντων ἀγών".
καὶ μὴν παρ' ἡμῶν Περσίδος γλώσσης ῥόθος
ὑπηντίαζε, κοὐκέτ' ἦν μέλλειν ἀκμή.
εὐθὺς δὲ ναῦς ἐν νηῒ χαλκήρη στόλον
ἔπαισεν· ἦρξε δ' ἐμβολῆς Ἑλληνική
ναῦς, κἀποθραύει πάντα Φοινίσσης νεώς
κόρυμβ'· ἐπ' ἄλλην δ' ἄλλος ηὔθυνεν δόρυ.
τὰ πρῶτα μέν νυν ῥεῦμα Περσικοῦ στρατοῦ
ἀντεῖχεν· ὡς δὲ πλῆθος ἐν στενῶι νεῶν
ἤθροιστ', ἀρωγὴ δ' οὔτις ἀλλήλοις παρῆν,
αὐτοὶ δ' ὑπ' αὐτῶν ἐμβολαῖς χαλκοστόμοις
παίοντ', ἔθραυον πάντα κωπήρη στόλον,
Ἑλληνικαί τε νῆες οὐκ ἀφρασμόνως
κύκλωι πέριξ ἔθεινον· ὑπτιοῦτο δέ
σκάφη νεῶν, θάλασσα δ' οὐκέτ' ἦν ἰδεῖν,
ναυαγίων πλήθουσα καὶ φόνου βροτῶν·
ἀκταὶ δὲ νεκρῶν χοιράδες τ' ἐπλήθυον.

408 cf. Hsch. σ 1909

---

399 εὔτακτον H[1] Y[t] D[ss] *ελ*, -τον ὧσ B **400** δεύτερος A **403** δὴ *β*: om. AD **411** ηὔθυνε(ν) M I[γρ] O A N[a] +: ἴθυνε(ν) cett. **412** νυν P[γρ] G, νῦν M H[a] Y: νῶιν I B[gl] Nc[t]: δὴ (= M[gl]) *κλ*: om. O: οὖν cett. ῥῦμα Meineke[4] 64: ἔρυμα Weil[11] **414** ἤθροιστ' M[a]: ἤθρ- cett. **415** θ' Butler ὑφ' αὑτῶν fere D *κλ* ἐμβόλοις Stanley[2] **417** ἀφρασμόνως M H[a] *τ*: ἀφραδμόνως cett. **418** ἔτεινον Heimsoeth[2] 55 **420** τ' ἀνθοῦσα (cf. Ag. 659) Headlam[6] 190 **421** ἐπλήθυον M I *κ*: -υνον cett.

φυγῆι δ' ἀκόσμως πᾶσα ναῦς ἠρέσσετο,
ὅσαιπερ ἦσαν βαρβάρου στρατεύματος.
τοὶ δ' ὥστε θύννους ἤ τιν' ἰχθύων βόλον
ἀγῆσι κωπῶν θραύμασίν τ' ἐρειπίων
ἔπαιον, ἐρράχιζον· οἰμωγὴ δ' ὁμοῦ
κωκύμασιν κατεῖχε πελαγίαν ἅλα,
ἕως κελαινὸν νυκτὸς ὄμμ' ἀφείλετο.
κακῶν δὲ πλῆθος, οὐδ' ἂν εἰ δέκ' ἤματα
στοιχηγοροίην, οὐκ ἂν ἐκπλήσαιμί σοι·
εὖ γὰρ τόδ' ἴσθι, μηδάμ' ἡμέραι μιᾶι
πλῆθος τοσουτάριθμον ἀνθρώπων θανεῖν.
ΒΑ. αἰαῖ, κακῶν δὴ πέλαγος ἔρρωγεν μέγα
Πέρσαις τε καὶ πρόπαντι βαρβάρων γένει.
ΑΓ. εὖ νυν τόδ' ἴσθι, μηδέπω μεσοῦν κακόν·
τοιάδ' ἐπ' αὐτοῖς ἦλθε συμφορὰ πάθους
ὡς τοῖσδε καὶ δὶς ἀντισηκῶσαι ῥοπῆι.
ΒΑ. καὶ τίς γένοιτ' ἂν τῆσδ' ἔτ' ἐχθίων τύχη;
λέξον τίν' αὖ φὴις τήνδε συμφορὰν στρατῶι
ἐλθεῖν, κακῶν ῥέπουσαν εἰς τὰ μάσσονα.
ΑΓ. Περσῶν ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν
ψυχήν τ' ἄριστοι κεὐγένειαν ἐκπρεπεῖς
αὐτῶι τ' ἄνακτι πίστιν ἐν πρώτοις ἀεί
τεθνᾶσιν αἰσχρῶς δυσκλεεστάτωι πότμωι.

422 ἀκόσμῳ (cf. 470.481) H^{c}D νηῒς O^{c}Y 425 ἀγαῖσι *Ω* θραύμασί(ν) M*β*OADQ^{2}*λ*: θραύσμ- cett. 426 οἰμωγῆ I^{a}H^{a}B$^{\times}$ O: -ῆσ M 427 κατίσχε D^{γρ} πελασγίαν *β*O*κλ*Θ 428 κελαινὸν *γ*: -ῆς MΦ cett. 429 οὐκ *γ*V* + L 431 μηδάμ' D^{2}?*κ*: μηδ' ἂν MΦ cett. ἡμέρα(ι) *Ω* 432 τοσοῦτ' ἀριθμὸν Σ^{γρ}MHO^{a}YAV + Q^{a} πεσεῖν La^{γρ} 434 βαρβάρῳ (cf. 516) P^{c}Ξa 435 νυν T: νῦν *Ω* 436 αὐτοὺς ADQ^{2}K^{s}L 438 τύχης P^{γρ} 441 ὅσοι παρῆσαν ADQ^{2γρ} 442 εὐπρεπεῖς I*βκλ* 444 οἰκτρῶς I*γ*: αἰκῶς Wecklein[11] δυστυχεστάτω Q^{t}K^{t} πότμω *β*Y^{a}?: μόρῳ (446) cett.

ΒΑ. οἴ'γὼ τάλαινα ξυμφορᾶς κακῆς, φίλοι.
ποίωι μόρωι δὲ τούσδε φὴις ὀλωλέναι;
ΑΓ. νῆσός τίς ἐστι πρόσθε Σαλαμῖνος τόπων,
βαιά, δύσορμος ναυσίν, ἣν ὁ φιλόχορος
Πὰν ἐμβατεύει ποντίας ἀκτῆς ἔπι.
ἐνταῦθα πέμπει τούσδ', ὅπως, ὅταν νεῶν
φθαρέντες ἐχθροὶ νῆσον ἐκσωιζοίατο,
κτείνοιεν εὐχείρωτον Ἑλλήνων στρατόν,
φίλους δ' ὑπεκσώιζοιεν ἐναλίων πόρων –
κακῶς τὸ μέλλον ἱστορῶν. ὡς γὰρ θεός
ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης,
αὐτημερὸν φάρξαντες εὐχάλκοις δέμας
ὅπλοισι ναῶν ἐξέθρωισκον, ἀμφὶ δέ
κυκλοῦντο πᾶσαν νῆσον, ὥστ' ἀμηχανεῖν
ὅπηι τράποιντο· πολλὰ μὲν γὰρ ἐκ χερῶν
πέτροισιν ἠράσσοντο, τοξικῆς τ' ἀπὸ
θώμιγγος ἰοὶ προσπίτνοντες ὤλλυσαν·
τέλος δ' ἐφορμηθέντες ἐξ ἑνὸς ῥόθου
παίουσι, κρεοκοποῦσι δυστήνων μέλη,
ἕως ἁπάντων ἐξαπέφθειραν βίον.
Ξέρξης δ' ἀνώιμωξεν κακῶν ὁρῶν βάθος·

445 ξυμφορᾶς Porson[1]: συμ- *Ω* φίλων Zakas **446** δὲ ante μόρωι I O: om. D *ελ*: δὴ Dawe[4], at cf. Ag. 278 **448** νηυσὶν *Mβγδκ* **450** ὅτ' ἐκ Elmsley[1] 236: ὅσοι Stadtmüller[2] **451** ἐξσωζ- M[as]: ἐξοισοίατο Stahl cl. Hdt. 8.76.2 **452** κτείνειεν I *γεκλ* (non Φ): -ειαν Asul. ἀργείων Lc στρατόν] ἄγραν Wecklein[6] 427 **453** πόνων P[γρ] Fc[ss] (non Φ) **456** αὐθημερὸν *Ω* φάρξ- Dind.[4]: φράξ- *Ω* **459** ὅπη (cf. Ag. 1532. Cho. 408. Eur. Hyps. 1 iv 19. Or. 635.723) N[t]: ὅποι cett. **460** πέτρησιν B + *εκλ* δ' W *ε* K[s] *λ* ἄπο *Ω* **461** προσπίτνοντες M *τ*: προσπίπτ- cett. **463** κρεο- M[×] Xc[c]: κρεω- fere cett. (κερω- *β*) **465** ἀνώιμωξ' ἐς Arsenius πάθος *β*

ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ,
ὑψηλὸν ὄχθον ἄγχι πελαγίας ἁλός·
ῥήξας δὲ πέπλους κἀνακωκύσας λιγύ,
πεζῶι παραγγείλας ἄφαρ στρατεύματι,
ἵησ' ἀκόσμωι ξὺν φυγῆι. τοιάνδε τοι
πρὸς τῆι πάροιθε ξυμφορὰν πάρα στένειν.
ΒΑ. ὦ στυγνὲ δαῖμον, ὡς ἄρ' ἔψευσας φρενῶν
Πέρσας· πικρὰν δὲ παῖς ἐμὸς τιμωρίαν
κλεινῶν Ἀθηνῶν ηὗρε, κοὐκ ἀπήρκεσαν
οὓς πρόσθε Μαραθὼν βαρβάρων ἀπώλεσεν·
ὧν ἀντίποινα παῖς ἐμὸς πράξειν δοκῶν
τοσόνδε πλῆθος πημάτων ἐπέσπασεν.
σὺ δ' εἰπέ, ναῶν αἳ πεφεύγασιν μόρον,
ποῦ τάσδ' ἔλειπες; οἶσθα σημῆναι τορῶς;
ΑΓ. ναῶν δὲ ταγοὶ τῶν λελειμμένων σύδην
κατ' οὖρον οὐκ εὔκοσμον αἴρονται φυγήν·
στρατὸς δ' ὁ λοιπὸς ἔν τε Βοιωτῶν χθονί
διώλλυθ', οἳ μὲν ἀμφὶ κρηναῖον γάνος

480 (σύδην) Hsch. σ 2208

466 εὐαυγῆ Hemsterhuys, cf. Σ αὐγάζοντα et Pind. Pae. 7b.47 v.l. et voc. τηλαυγής, Schwyzer Gramm. I 203 n.3, Björck 147sq. 467 πελασγίας MH + γKλΘ 470 ἵησ' GF, ἴησ' MIγQ[a]?, ἤϊσ' A: ἴηξ' O[c], ἤϊξ' fere cett. ἀκόσμως (422) β ξὺν MIAε: σὺν cett. τοιανδέ M, τοιάνδέ fere cett. τοι West[7] (cf. Prom. 8. Ag. 312.348 al.): σοι Ω 471 ξυμφορὰν Porson[1]: συμφορᾶ βγ, -ὰν cett. 472 ἔψαυσας O[a2]C 473 γε Paley[2] 474 ἦρε I[t]: εὗρε cett.: corr. Dind.[4] ἀπήρκεσαν β κ λ: -εσε M, -εσεν cett. 477 τοσῶνδε M (δὲ) βY + δQ 478 λαῶν Weil[15] οἳ U[ss] 479 (οἳ ...) τούσδ' Thurot ἔλειπες MKτ: ἔλιπες cett. 480 δὲ] cf. Denniston[3] 171: γε GF λελεγμένων β[γρ] Q[t] (non ΦΘ) 481 αἱροῦνται fere Ω (αἰρ- M): corr. Elmsley[4] ad Hcld. 505 φυγεῖν Y δ[γρ] λ 482 δ' ὁ] δὲ D + N[x] 483 Κρηναῖον Σ: κραναῖον O[a2]Y[t]

δίψηι πονοῦντες, οἳ δὲ ⟨. . .
. . . . . . οἳ δ'⟩ ὑπ' ἄσθματος κενοῦ
διεκπερῶμεν εἴς τε Φωκέων χθόνα
καὶ Δωρίδ' αἶαν Μηλιᾶ τε κόλπον, οὗ
Σπερχειὸς ἄρδει πεδίον εὐμενεῖ ποτῶι·
κἀντεῦθεν ἥμας γῆς Ἀχαιΐδος πέδον
καὶ Θεσσαλῶν πόλεις ὑπεσπανισμένους
βορᾶς ἐδέξαντ'· ἔνθα δὴ πλεῖστοι θάνον
δίψηι τε λιμῶι τ'· ἀμφότερα γὰρ ἦν τάδε.
Μαγνητικὴν δὲ γαῖαν εἴς τε Μακεδόνων
χώραν ἀφικόμεσθ', ἐπ' Ἀξιοῦ πόρον,
Βόλβης θ' ἕλειον δόνακα, Πάγγαιόν τ' ὄρος,
Ἠδωνίδ' αἶαν. νυκτὶ δ' ἐν ταύτηι θεός
χειμῶν' ἄωρον ὦρσε, πήγνυσιν δὲ πᾶν
ῥέεθρον ἁγνοῦ Στρυμόνος· θεοὺς δέ τις
τὸ πρὶν νομίζων οὐδαμοῦ, τότ' ηὔχετο
λιτῆσι, Γαῖαν Οὐρανόν τε προσκυνῶν.
ἐπεὶ δὲ πολλὰ θεοκλυτῶν ἐπαύσατο
στρατός, περᾶι κρυσταλλοπῆγα διὰ πόρον·
χὤστις μὲν ἥμων πρὶν σκεδασθῆναι θεοῦ

484 δίψηι M: δίψει Φ cett. mutilum esse locum susp. Heath (cf. 482 τε): post 484 lac. stat. Paley[3] (485–514 damnatis), post οἳ δὲ Roussel: placeat e.g. οἳ δὲ ⟨λοιμώδει νόσωι | δυσημεροῦντες· οἳ δ'⟩ κενοῦ Diggle[1] 4: κενοὶ *Ω*. cf. 372. Ag. 1554 485 διεκπερῶντες I[γρ]: -ῶμεν δ' Markland[2] 486 Λοκρίδ' Wil.[19] 488 ἡμᾶς *Ω* τῆς *γ*AD ἀχαιΐδος MIAKG[c]T: ἀχαῖδος cett. 489 πόλεις Schiller[1]: πόλις MΦB+*γ*Q[a]?: πόλισμ' cett. 490 ἐδέξατ' *β*O[2]A[a]D 491 δίψει *γ*A[t]W*εκλ* 492 τε γαῖαν ἠδὲ *γ* 493 ἀξιοῦ W[c]Nc[×] GaFc, ἀξειοῦ *κλ*: ἀξίου cett. 494 βολβῆς M*γ* 498 ηὔχετο BA*κλ*: εὔχ- fere cett. (-εται D) 499 λιταῖσι *Ω* ‼501 κρ. διὰ πόρον στρατὸς περᾶι Porson[2] xxxviii (περᾶι στρατός Hartung) 502 ἡμῶν *Ω*

ἀκτῖνας ὡρμήθη, σεσωμένος κυρεῖ·
φλέγων γὰρ αὐγαῖς λαμπρὸς ἡλίου κύκλος
μέσον πόρον διῆκε θερμαίνων φλογί·
πίπτον δ' ἐπ' ἀλλήλοισιν· εὐτυχὴς δέ τοι
ὅστις τάχιστα πνεῦμ' ἀπέρρηξεν βίου.
ὅσοι δὲ λοιποὶ κἄτυχον σωτηρίας,
Θρήικην περάσαντες μόγις πολλῶι πόνωι
ἥκουσιν ἐκφυγόντες, οὐ πολλοί τινες,
ἐφ' ἑστιοῦχον γαῖαν· ὡς στένειν πόλιν
Περσῶν, ποθοῦσαν φιλτάτην ἥβην χθονός.
ταῦτ' ἔστ' ἀληθῆ· πολλὰ δ' ἐκλείπω λέγων
κακῶν ἃ Πέρσαις ἐγκατέσκηψεν θεός.
ΧΟ. ὦ δυσπόνητε δαῖμον, ὡς ἄγαν βαρύς
ποδοῖν ἐνήλω παντὶ Περσικῶι γένει.
ΒΑ. οἲ'γὼ τάλαινα διαπεπραγμένου στρατοῦ.
ὦ νυκτὸς ὄψις ἐμφανὴς ἐνυπνίων,
ὡς κάρτα μοι σαφῶς ἐδήλωσας κακά·
ὑμεῖς δὲ φαύλως αὔτ' ἄγαν ἐκρίνατε.
ὅμως δ', ἐπειδὴ τῆιδ' ἐκύρωσεν φάτις
ὑμῶν, θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω·
ἔπειτα Γῆι τε καὶ φθιτοῖς δωρήματα
ἥξω λαβοῦσα πελανὸν ἐξ οἴκων ἐμῶν,
ἐπίσταμαι μὲν ὡς ἐπ' ἐξειργασμένοις,
ἀλλ' εἰς τὸ λοιπὸν εἴ τι δὴ λῶιον πέλοι.

503 σεσωσμένος *Ω*: corr. Wecklein[1] 62 506 ἐν *β* εὐτυχεῖς A[t]: -εῖ MI[γρ]*κ*: εὐτύχει G.C.W. Schneider (ηὐ- Paley[1]) 509 μόλις *λ* 510 ἐκφεύγοντες AD 511 αἶαν O 513 possis ἴσθ' (ἴστ' Zakas), cf. Ag. 680 515 δυσπάλαιστε (Cho. 692) Blomf.[6]: δυσφόρητε Blaydes[2] 516 ἐνήλω Q[2]: ἐνήλου MI*γκλ*: ἐνήλλου *βδε*. cf. Eum. 372. Soph. O.R. 1311 vv.ll. 518 ἐκφανὴς *β* 519 κάρτά sic INK? 520 ταῦτ' *β* ἐκρίνετε AD 522 μὲν] γε *γ* 524 πελανὸν M[a]H[a]: πέλανον M[s] cett. 526 λῶιον] πλέον D, πλεῖον *λ*

ὑμᾶς δὲ χρὴ'πὶ τοῖσδε τοῖς πεπραγμένοις
πιστοῖσι πιστὰ ξυμφέρειν βουλεύματα·
καὶ παῖδ', ἐάνπερ δεῦρ' ἐμοῦ πρόσθεν μόληι,
παρηγορεῖτε καὶ προπέμπετ' εἰς δόμους,
μὴ καί τι πρὸς κακοῖσι προσθῆται κακόν.

ΧΟ. ὦ Ζεῦ βασιλεῦ, νῦν ⟨ ⟩ Περσῶν
τῶν μεγαλαύχων καὶ πολυάνδρων
στρατιὰν ὀλέσας
ἄστυ τὸ Σούσων ἠδ' Ἀγβατάνων
πένθει δνοφερῶι κατέκρυψας.
πολλαὶ δ' ἁπαλαῖς χερσὶ καλύπτρας
κατερεικόμεναι
διαμυδαλέους δάκρυσι κόλπους
τέγγουσ' ἄλγους μετέχουσαι·
αἱ δ' ἁβρόγοοι Περσίδες ἀνδρῶν
ποθέουσαι ἰδεῖν ἀρτιζυγίαν,
λέκτρων εὐνὰς ἁβροχίτωνας,

527–31 post 851 trai. Nikitin; cf. Sidgwick[5] 65 sq. Taplin 97 527 ἡμᾶς M*γλ* 528 πιστοῖσι I W$^{ss?}$ *κ*: πιστοῖς M*βγδε*: πιστοῖς γε *λ*: πιστοῖς τὰ P^{γρ} Rc: πιστοὺς Σ$_{I}^{γρ}$: πιστῶς τὰ Blomf.[6] 531 μὴ καί τι I Y W V K *λ*: καὶ μή τι Q^{r} Lc: μηκέτι cett.: μὴ κἄτι Blomf.[6] (κ' ἔτι iam Asul.) προσθῆται Ga P, πρόσθηται *λ*: προσθῆτι A D: πρόσθητε fere cett. et Θ (γένηται V*) 532 ἀλλ' ὦ W N + *λ* νῦν τῶν *γ* Q^{a}: νῦν ⟨αὖ⟩ Elmsley[2] 94, ⟨δὴ⟩ Scholefield, alii alia: possis et ⟨σὺ δὲ⟩ νῦν περσῶν μὲν T 534 ὤλεσας *β* D N^{2} Θ^{γρ} 535 τοσούτων H + *γ* D ἀγβατάνων M: ἐκβ- cett. 536 στυγερῶ *ε* K^{γρ}, -ῶν *λ* post h. v. lac. stat. Schütz[6] 537–40 post 545 trai. Conradt[2] 537 ἀταλαῖς Fc^{γρ} GF 538 κατερ. ⟨μητέρες οἰκτραὶ⟩ Dind.[8] 459.468 539 διαμυδαλέους H^{a} *λ*: -λέοις fere cett. (διὰ μ. nonnulli) et Φ δάκρυσιν Wil.[19] 541 ἁβρόγοοι P^{1}: ἁβρογόοι fere cett. (ἀκρο- I^{γρ}, ἀνδρο- D, contra Σ Φ) 542 ποθέουσ' *βκ*: -ουσιν Blomf.[6] ἀρτισυζυγίαν B^{s} W^{a}? D + *ε* 543 λέκτρων τ' *βγδκλ*

χλιδανῆς ἥβης τέρψιν, ἀφεῖσαι,
πενθοῦσι γόοις ἀκορεστοτάτοις·
κἀγὼ δὲ μόρον τῶν οἰχομένων
αἴρω δοκίμως πολυπενθῆ.

νῦν γὰρ δὴ πρόπασα μὲν στένει str. 1
γαῖ' Ἀσὶς ἐκκενουμένα.
Ξέρξης μὲν ἄγαγεν, ποποῖ,
Ξέρξης δ' ἀπώλεσεν, τοτοῖ,
Ξέρξης δὲ πάντ' ἐπέσπε δυσφρόνως
βαρίδεσσι ποντίαις.
τίπτε Δαρεῖος μὲν οὕτω τότ' ἀβλαβὴς ἐπῆν
τόξαρχος πολιήταις,
Σουσίδος φίλος ἄκτωρ;

πεζούς †τε γὰρ† καὶ θαλασσίους ant. 1
†αἱ δ' ὁμόπτεροι† κυανώπιδες
νᾶες μὲν ἄγαγον, ποποῖ,
νᾶες δ' ἀπώλεσαν, τοτοῖ,
νᾶες πανωλέθροισιν ἐμβολαῖς,
διὰ δ' Ἰαόνων χέρας.

545 ἀκορεστάτοις B^{a} Y W N + K *λ*: ἀκορέστοις Prien[3] 224 548 γὰρ del. Porson[1] δὴ om. GF 549 Ἀσὶς Blomf.[6]: ἀσίας *Ω* (ἀσιάς Lc?, Steph.) 550–2 fort. Ξέρξας, cf. 923 μὲν D + Lc: γὰρ *τ*: μὲν γὰρ cett. ἄγαγεν T: ἤγαγε(ν) cett. ποποῖ ... τοτοῖ] v.l. πόποι ... τότοι (cf. Φ). exclamationes extra metrum (cf. 568 sqq.) fort. simul cum cantu protulit pars chori 553 βαρίδες τε M Q^{t}K (non Φ): βαρίδεσι τε I ποντίαι M Q^{t}, πόντιαι G F (non Φ) 554 τίπτε W? P Fc^{γρ} T: τίποτε cett. 556 πολιήταις *τ*: πολήταισ M: πολίταις cett. 557–75 **deest W** 557 σουσίδεσ M^{a}, -αις *ε*, -αισι I 558 τε om. Q^{a}? G F: γὰρ om. V^{a}? *λ*: γάρ τε T: γάρ σφε Maas[6] 559 αἱ δ' del. Brunck[1] ὠμόπτεροι D^{a} + N[2]: λινόπτεροι (cf. Prom. 468) Schütz[2] 562 πανωλεθρίοισιν fere M I *δ ε λ* 563 δ' *Σ Ω*: γ' Prien[3] 225: τ' Schiller[2]

τυτθὰ δ' ἐκφυγεῖν ἄνακτ' αὐτόν, ὡς ἀκούομεν,
Θρήικης ἀμ πεδιήρεις
δυσχίμους τε κελεύθους.

τοὶ δ' ἄρα πρωτομόροιο φεῦ str. 2
ληφθέντες πρὸς ἀνάγκας ἠέ
ἀκτὰς ἀμφὶ Κυχρείας ὀᾶ
⟨ἔρραινται.⟩ στένε καὶ δακνά-
ζου, βαρὺ δ' ἀμβόασον
οὐράνι' ἄχη, ὀᾶ,
τεῖνε δὲ δυσβάϋκτον
βοᾶτιν τάλαιναν αὐδάν.

κναπτόμενοι δ' ἁλὶ δεινά φεῦ ant. 2
σκύλλονται πρὸς ἀναύδων ἠέ
παίδων τᾶς ἀμιάντου. ὀᾶ.
πενθεῖ δ' ἄνδρα δόμος στερη-
θείς, τοκέες δ' ἄπαιδες {ἔρρανται}
δαιμόνι' ἄχη ὀᾶ
δυρόμενοι γέροντες
τὸ πᾶν δὴ κλύουσιν ἄλγος.

566 θρήκας O[a]? Rc[a] 567 δυσχειμέρους fere *Ω*: corr. D'Arnaud 211 568 sq. πρωτόμοροι ... ἀνάγκαν fere Σ*Ω*: corr. Blomf.[6] ληφθέντες I*β*O[ss]D[ss]*ε*Q: λειφθ- MΦ[γρ] cett. 571 ⟨ἔρραινται⟩ Page[2]: ⟨ἔρρανται⟩ Hermann[14] 8/81 (cf. ad 580): ⟨ἔρρουσι⟩ Dind.[8] 461.478 (cf. 964; ἔρροντες iam Blomf.[6]): ⟨πένθει καὶ⟩ T[σ] 575 βοᾶτιν et Σ: βοατύν, Doederlein[1]: γοᾶτιν Headlam[4] 298 576 κναπτ- Bothe[2]: γναπτ- MΦ*βκ*: γναμπτ- cett. δεινὰ MHYDN+*λ*: δεινᾶ(ι) ΦΘ cett. 580 τοκῆες *Ω*: corr. T ἔρρανται Φ*β*WV+, ἔρανται *γ*Q: ἔρραται IAD: ἄρρανται K: αἴρανται *λ*: ἔρ*αντε δάκρυσι N: ἐρα M: ἄρα Fc[γρ]: del. Tricl. (GFT[σ]): ad 571 rettulit Hermann[14] 8/81 582 δυρόμενοι MQ: ὀδυρ- cett. γέρ. τὸ πᾶν δὴ] 'senes facti iam omnino', cf. 262–5 583 κλύοντες P[γρ]

τοὶ δ' ἀνὰ γᾶν Ἀσίαν δήν str. 3
οὐκέτι περσονομοῦνται,
οὐδ' ἔτι δασμοφοροῦσιν
δεσποσύνοισιν ἀνάγκαις,
οὐδ' εἰς γᾶν προπίτνοντες
ἄρξονται· βασιλεία
γὰρ διόλωλεν ἰσχύς.

οὐδ' ἔτι γλῶσσα βροτοῖσιν ant. 3
ἐν φυλακαῖς· λέλυται γὰρ
λαὸς ἐλεύθερα βάζειν,
ὡς ἐλύθη ζυγὸν ἀλκᾶς.
αἱμαχθεῖσα δ' ἄρουρα⟨ν⟩
Αἴαντος περικλύστα
νᾶσος ἔχει τὰ Περσᾶν.

ΒΑ. φίλοι, κακῶν μὲν ὅστις ἔμπειρος κυρεῖ,
ἐπίσταται βροτοῖσιν ὡς ὅταν κλύδων
κακῶν ἐπέλθηι, πάντα δειμαίνειν φιλεῖ,
ὅταν δ' ὁ δαίμων εὐροῆι, πεποιθέναι
τὸν αὐτὸν αἰὲν ἄνεμον οὐριεῖν τύχης.
ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα·
ἐν ὄμμασίν τ' ἀνταῖα φαίνεται θεῶν,
βοᾶι δ' ἐν ὠσὶ κέλαδος οὐ παιώνιος·
τοία κακῶν ἔκπληξις ἐκφοβεῖ φρένας.

586 οὐκέτι IYW*εκ*   587 δεσποσύνησιν *β*O^1WV+, -ναισιν I*τ*   588 οὐδ' Heath: οὔτ' *Ω*   προπίτνοντες $T^σ$F, προσπίτνοντες MI*δε*$Q^{2γρ}$, προσπιτνῶντες H: προπίπτ- *λ*: προσπίπτ- fere cett.   589 ἄζονται Halm[2] 205   βασιλεία ΣM^sN: βασίλεια M^a cett.   591 οὐκέτι *β* (non Φ): οὐδέ τοι W*ε*Q^1*λ*   595 ἄρουρα *Ω*: corr. Porson[6] 156   597 περσῶν *Ω*: corr. Blomf.[6]   598 ἔμπειρος *βγ*: ἔμπορος ΜΦΘ cett.   600 φίλον Weil[12]   602 αἰὲν ἄνεμον Weil[14] 30: αἰεὶ δαίμον' fere *Ω* (ἀεὶ *δ*N+K*λ*): αἰεὶ πνεύματ' Wecklein[14] 350   605 τ' Weil[11]

τοιγὰρ κέλευθον τήνδ' ἄνευ τ' ὀχημάτων
χλιδῆς τε τῆς πάροιθεν ἐκ δόμων πάλιν
ἔστειλα, παιδὸς πατρὶ πρευμενεῖς χοάς
φέρουσ', ἅπερ νεκροῖσι μειλικτήρια,
βοός τ' ἀφ' ἁγνῆς λευκὸν εὔποτον γάλα,
τῆς τ' ἀνθεμουργοῦ στάγμα, παμφαὲς μέλι,
λιβάσιν ὑδρηλαῖς παρθένου πηγῆς μέτα,
ἀκήρατόν τε μητρὸς ἀγρίας ἄπο
ποτόν, παλαιᾶς ἀμπέλου γάνος τόδε·
τῆς τ' αἰὲν ἐν φύλλοισι θαλλούσης βίον
ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα,
ἄνθη τε πλεκτά, παμφόρου Γαίας τέκνα.
ἀλλ' ὦ φίλοι χοῇσι ταῖσδε νερτέρων
ὕμνους ἐπευφημεῖτε τόν τε δαίμονα
Δαρεῖον ἀνακαλεῖσθε· γαπότους δ' ἐγὼ
τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς.

ΧΟ. βασίλεια γύναι, πρέσβος Πέρσαις,
σύ τε πέμπε χοὰς θαλάμους ὕπο γῆς,
ἡμεῖς θ' ὕμνοις αἰτησόμεθα φθιμένων πομποὺς
εὔφρονας εἶναι κατὰ γαίας.
ἀλλὰ χθόνιοι δαίμονες ἁγνοί,

612 resp. Tz. Exeg. Il. 27.22, 127.6 H.

---

609 ἔστειλα I$\gamma\varkappa$: ἔστειλα τῷ $\delta\varepsilon\lambda$, ἐστείλατο M: om. β παιδὸς om. β: παιδὸς τῷ πατρὶ γ: πατρὶ παιδὸς (cf. Σ_M) $\varkappa$, qui deinde εὐμενεῖς 613 μίγα Wakefield^0 614 ὕπο λ 619 χοαῖσι Ω 620 ὕμνοις λ τόνδε I$^{\gamma\varrho}\beta\gamma$WDV+ λ: τόν τ' εὐ- Lh^{2r} (contra Σ) 621 ἀγκαλ- Dind.[4] τ' AD 622 προσάψω I$^{\gamma\varrho}$ νερτέρων (ex 619) O$^a\varkappa$ 623 πρέσβος MO+: -υς IδV+ λ: -ις βN: -α N$^2\varkappa$ 624 ὕπο Lc: ὑπὸ Ω 625 δ' IβW$\varepsilon\lambda$ 627 γαίας MIγ, -ης H: γαῖαν cett.

Γῆ τε καὶ Ἑρμῆ βασιλεῦ τ' ἐνέρων,
πέμψατ' ἔνερθεν ψυχὴν εἰς φῶς·
εἰ γάρ τι κακῶν ἄκος οἶδε πλέον,
μόνος ἂν θνητῶν πέρας εἴποι.

ἦ ῥ' ἀΐει μοι μακαρίτας ἰσοδαίμων βασιλεὺς str. 1
βάρβαρα σαφηνῆ
ἱέντος τὰ παναίολ' αἰανῆ δύσθροα βάγματα;
παντάλαν' ἄχη
διαβοάσω·
νέρθεν ἆρα κλύει μου;

ἀλλὰ σύ μοι, Γᾶ τε καὶ ἄλλοι χθονίων ἁγεμόνες, ant. 1
δαίμονα μεγαυχῆ
ἰόντ' αἰνέσατ' ἐκ δόμων, Περσᾶν Σουσιγενῆ θεόν,
πέμπετε δ' ἄνω,
οἷον οὔπω
Περσὶς αἶ' ἐκάλυψεν.

ἦ φίλος ἀνήρ, {ἦ} φίλος ὄχθος· str. 2
φίλα γὰρ κέκευθεν ἤθη.

629–45 mutilus W **629** βασιλεύς K[a] Nd **630** πρὸς *γ* φάος *ελ* **632** πέρσας *β*: πέρσαις $Σ_I$[γρ] V[1] QK[1] **633** ἀΐει μοι … ἱέντος cf. Il. 16,531 (Wackernagel[6] II 77): μου V + *κλ* **635** σαφανῆ La Ya post **639** et **646** exclamationem desid. Wecklein[12] (cf. 651 etc.), sed ἰαυοῖ ex Ar. Ran. 1029 inferre noluit **642** μεγαυχῆ Q[t] Fc[γρ]: μεγαλαυχῆ fere cett. (-αρχῆ Ga Fc[t]) **643** ἱέντ' (ex 636) *λ* σουσογενῆ Xc (cf. 12) **646** αἶα κάλ- *γ* (αἶα ἐκάλ- *βδ*) **647** ἀνήρ Burney[1] ἦ alt. om. DT οὖχθος nol. Teuffel

Ἀϊδωνεὺς δ' ἀναπομπὸς ἀνείης, Ἀϊδωνεύς,
{Δαρεῖον} θεῖον ἀνάκτορα Δαριᾶνα· ἠέ·

οὔτε γὰρ ἄνδράς ποτ' ἀπώλλυ ant. 2
πολεμοφθόροισιν ἄταις,
θεομήστωρ δ' ἐκικλήισκετο Πέρσαις, θεομήστωρ
δ' ἔσκεν, ἐπεὶ στρατὸν †εὖ ἐποδώκει†. ἠέ.

βαλλήν, ἀρχαῖος βαλλήν, ἴθι, ἱκοῦ, str. 3
ἔλθ' ἐπ' ἄκρον κόρυμβον ὄχθου,
κροκόβαπτον ποδὸς εὔμαριν ἀείρων,
βασιλείου τιήρας φάλαρον πιφαύσκων.
βάσκε πάτερ ἄκακε Δαριάν· οἴ·

ὅπως καινά τε κ'λύῃς νέα τ' ἄχη· ant. 3

657 (βαλήν, ἀ. β.) Eu. 381.17, 1854.25; (βαλ(λ)ήν) Hdn. I 15.13, 17, II 923.8, Hsch. β 154 662 cf. Hsch. π 2402

---

650 ἀνείης Brunck[1]: ἀνίησ' ⟦. .⟧ O: ἀνειη M^{a}, ἂν εἴη M^{s} $Σ_{I}^{γρ}$ $Q^{γρ}$: ἀνίη ΦΙ*β*Υ*δ*V+, ἀνία *λ*: ἀνίει N^{a2}+ *κ* ἀϊδωνεὺς alt. om. O*δε* 651 Δαρεῖον del. Dind.[8] 463.484: δαίμονα Newman[1] 2 θεῖον Schütz[2]: οἷον Σ$P^{γρ}$, οἷον *Ω*: δῖον Dind. l.c. ἀνάκτορα Δαριᾶνα Dind. l.c.: ἄνακτα δαρειὰν fere *Ω* 652 ἄνδράς sic DN?K*λ* πώποτ' *γ* ἀπόλλυ M*β*Y 654 τ' D 656 εὖ om. M^{a}D ἐποδώκει M^{1}ΦΙ*β*O^{a}*δεκλ*: ἐπεδώκει *γ*Q^{a}?: ὑπεδώκει M^{a}: ὑπὸ τὸν ἑαυτοῦ πόδα ἡνιόχει Σ: εὖ ποδούχει Dind.[8] 486 sq.: fort. ηὐοδώκει (Є$\overset{H}{\text{Y}}$- > ЄYΠ-; εὐωδώκει iam Merkel[3]) 657 sq. βαλλὴν (bis) MH (658 tantum) *γ*Q Hdn.: βαλὴν fere cett. Eust. fort. ἀρχαῖ' ὦ ἴθ' WD^{c}*ελ*: ἴθ' ἴθ' Seidler[1] 198 660 ἀείρας P^{ss} 661 fort. βασιληΐου et 669 νεολαῖα τιήρας cf. Jackson, Marginalia Scaenica 28: τιάρας B$W^{c}$$D^{c}$*κλ* 662 πιφαύσκων MI*τ*: πιφάσκων fere cett. 663 δαριαν M^{a}: δαρειὰν fere cett. 665 καινά … νέα τε def. Lobeck[1] ad Ai. 145: καίν' ἄλγη Enger[1] 33: αἰανῆ id.[0]: κοινὰ (Stolberg) γᾶι (Housman[1] 322/19) Page[3] 666 ἄχθη *κ*

δέσποτα δέσποτ' ὢ φάνηθι.
Στυγία γάρ τις ἐπ' ἀχλὺς πεπόταται·
νεολάια γὰρ ἤδη κατὰ πᾶσ' ὄλωλεν.
βάσκε πάτερ ἄκακε Δαριάν. οἴ.

αἰαῖ αἰαῖ· epod.
ὦ πολύκλαυτε φίλοισι θανών,
τί τάδε, ⟨τί τάδε,⟩ δυνάτα, δυνάτα,
†περὶ τᾶι σᾶι δίδυμα διὰ† γοέδν' ἁμάρτια;
πᾶσαι ⟨γὰρ⟩ γᾶι τᾶιδ' ἐξέφθινται τρίσκαλμοι
νᾶες ἄναες ἄναες.

ΕΙΔΩΛΟΝ ΔΑΡΕΙΟΥ

ὦ πιστὰ πιστῶν ἥλικές θ' ἥβης ἐμῆς
Πέρσαι γεραιοί, τίνα πόλις πονεῖ πόνον;
στένει, κέκοπται, καὶ χαράσσεται πέδον.
λεύσσων δ' ἄκοιτιν τὴν ἐμὴν τάφου πέλας
ταρβῶ· χοὰς δὲ πρευμενὴς ἐδεξάμην·
ὑμεῖς δὲ θρηνεῖτ' ἐγγὺς ἑστῶτες τάφου,

667 δέσποτ' ὢ Herwerden[1] 95, Enger[0]: δεσπότου *Ω*: δεσποτᾶν Dind.[8] 463.490 670 κατὰ γῆς (sc. γᾶς) Fc[γρ] Lh 671 δαρειὰν *Ω* 674 πολύκλαυστε O[a] Y 675 τί τάδε duplicavit West[7] δυνάτα δυνάτα M N[2] (ἀντὶ τοῦ δυνάστα Σ), δυνάτα δυνάστα H: δυνάστα δυνάστα fere cett. 676 ταῖσαῖ M (α utrumque i. r.), τᾶ σᾶ fere cett. (τὰ σὰ I[c] B): τῆι σῆι γῆι τῆιδε Φ, sc. γᾶι σᾶι?: περισσὰ Bothe[2] post Lachmann[1] 73: fort. περίπεσε 677 διὰ γοέδν' Metzger (διαγόεδν' iam G. C. W. Schneider): διαγόενδ' M[s]: διαγόεν M[a]: διάγοιε δ' *β*: διὰ γόενθ' I[γρ]: διάγοιεν δ' Φ I *δ ε λ* et sine δ' *γ κ*: ἄνια γοέδν' Page[2]: δὶς γοέδν' Murray[1]: fort. μάλα γοέδν' (1057) 678 πᾶσαι Bothe[1]: πάσαι M[s] (πᾶσαν γᾶν τάνδε M[a]), πάσα (vel -ᾳ) fere cett. (πᾶσα Y A[a] *ε* Q, πᾶ σᾶ D) ⟨γὰρ⟩ Dind.[8] 465.492 682 πόνον πονεῖ N 684 τήνδ' Blomf.[6], cf. ad Cho. 17 πέλας τάφου N + *λ* 685 πρευμενὴς M *κ* Θ: -εῖς Φ cett.: -ῶς Blaydes[3] 198

καὶ ψυχαγωγοῖς ὀρθιάζοντες γόοις
οἰκτρῶς καλεῖσθέ μ'. ἔστι δ' οὐκ εὐέξοδον,
ἄλλως τε πάντως, χοἰ κατὰ χθονὸς θεοί
λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι.
ὅμως δ' ἐκείνοις ἐνδυναστεύσας ἐγώ
ἥκω· τάχυνε δ', ὡς ἄμεμπτος ὦ χρόνου.
τί ἐστι Πέρσαις νεοχμὸν ἐμβριθὲς κακόν;

ΧΟ. σέβομαι μὲν προσιδέσθαι, str.
σέβομαι δ' ἀντία λέξαι
σέθεν ἀρχαίωι περὶ τάρβει.

ΔΑ. ἀλλ' ἐπεὶ κάτωθεν ἦλθον σοῖς γόοις πεπεισμένος,
μή τι μακιστῆρα μῦθον ἀλλὰ σύντομον λέγων
εἰπὲ καὶ πέραινε πάντα, τὴν ἐμὴν αἰδῶ μεθείς.

ΧΟ. δίομαι μὲν χαρίσασθαι, ant.
δίομαι δ' ἀντία φάσθαι,
λέξας δύσλεκτα φίλοισιν.

ΔΑ. ἀλλ' ἐπεὶ δέος παλαιὸν σοὶ φρενῶν ἀνθίσταται,
τῶν ἐμῶν λέκτρων γεραιὰ ξύννομ', εὐγενὲς δάμαρ,
κλαυμάτων λήξασα τῶνδε καὶ γόων σαφές τί μοι
λέξον. ἀνθρώπεια δ' ἄν τοι πήματ' ἂν τύχοι βροτοῖς·

698 (μακιστ.) Hsch. μ 120

---

687 ὀρθιάζοντες TF, ὀρθρίζ- G: ῥοθιάζ- ΜΦ cett. 688 καλεῖτᾶι L 689 κάτω La, cf. ad Eum. 1023 692 τάχυνε M^{t}H^{a}: τάχυνα M^{s}ΦΘ et fere cett. 693 τί δ' H^{ss}W*κλ* 697 ἥκω (692) *κ* 698 μακεστῆρα *δεκλ* λέγων] λόγον I^{t}: om. Q^{a2}GaFc 700–1 δίομαι D^{ss}(700)*λ*: δείομαι cett.: δίεμαι Hermann^{32}: δέομαι Pauw ἄρτια φάσθαι Paley^{2} cl. Σ ἀληθεῦσαι 702 λέξων Herwerden^{4} 190 703 ἀνθάπτεται Wakefield^{1} 99 704 δάμαρ I (cf. fr. 383): γύναι cett. 706 ἂν τύχοι] ἐντύχοι *κλ*

πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακά
γίγνεται θνητοῖς, ὁ μάσσων βίοτος ἢν ταθῆι πρόσω.
ΒΑ. ὦ βροτῶν πάντων ὑπερσχὼν ὄλβον εὐτυχεῖ πότμωι,
ὡς ἕως τ' ἔλευσσες αὐγὰς ἡλίου ζηλωτὸς ὢν
βίοτον εὐαίωνα Πέρσαις ὡς θεὸς διήγαγες,
νῦν τέ σε ζηλῶ θανόντα πρὶν κακῶν ἰδεῖν βάθος.
πάντα γὰρ Δαρεῖ' ἀκούσηι μῦθον ἐν βραχεῖ χρόνωι·
διαπεπόρθηται τὰ Περσῶν πράγμαθ', ὡς εἰπεῖν ἔπος.
ΔΑ. τίνι τρόπωι; λοιμοῦ τις ἦλθε σκηπτὸς ἢ στάσις πόληι;
ΒΑ. οὐδαμῶς, ἀλλ' ἀμφ' Ἀθήνας πᾶς κατέφθαρται στρατός.
ΔΑ. τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει; φράσον.
ΒΑ. θούριος Ξέρξης, κενώσας πᾶσαν ἠπείρου πλάκα.
ΔΑ. πεζὸς ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν τάλας;
ΒΑ. ἀμφότερα· διπλοῦν μέτωπον ἦν δυοῖν στρατευμάτοιν.
ΔΑ. πῶς δὲ καὶ στρατὸς τοσόσδε πεζὸς ἤνυσεν περᾶν;
ΒΑ. μηχαναῖς ἔζευξεν Ἕλλης πορθμόν, ὥστ' ἔχειν πόρον.
ΔΑ. καὶ τόδ' ἐξέπραξεν, ὥστε Βόσπορον κλῆισαι μέγαν;
ΒΑ. ὧδ' ἔχει· γνώμης δέ πού τις δαιμόνων ξυνήψατο.
ΔΑ. φεῦ, μέγας τις ἦλθε δαίμων, ὥστε μὴ φρονεῖν καλῶς.
ΒΑ. ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακόν.

708 γίνεται *Ω*: corr. L βροτοῖς AW 709 εὐτυχεῖ πότμω I^{a}O^{2}Y *κ*, εὐτυχεῖ etiam M^{a}B^{s}O, πότμω etiam N^{a2}: εὐτυχῆ πότμον cett. 710 ὡς MIO*δε*: ὃς cett. (ὅς θ' *κ*) τ' MI*γ*A: om. cett. 712 βάρος Ga^{t}Fc^{t}K^{γρ} 713 χρόνωι (cf. 692. Eur. Pho. 917)] λόγω (cf. 698. Prom. 505. Soph. Ph. 435) A^{2γρ}D*ε*. cf. ad Prom. 875 714 εἰπεῖν ἔπος *κλ*: ἔπος εἰπεῖν cett. 715 λιμοῦ IO^{c}Q^{ss}K^{2} πόλει *Ω* 716 διέφθαρται I: τις ᾤχετο *γ* 718–54 deest B 719 δὲ om. N+: γε *κλ* 720 πρόσωπον *λ* στρατευμάτοιν *κλ*Θ: στρατηλάτοιν (ex 717) MIH*γ*DVa, -λάταιν O^{1}AWV+, alterutrum ΦN 721 ἤνυσεν M$^{\times}$G: ἤνυσε cett. (-εν *λ*) 722 ἔζευξαν O^{a2}Y 723 κλῆισαι M: κλεῖσαι M^{gl} cett. 724 γνώμη X*λ* συνήψατο *δελ* 725 possis ἦλθ' ἀλάστωρ (cf. 354), at v. Cho. 119 726 ἤνυσεν M$^{\times}$G: ἤνυσε cett. (-εν *τ*)

ΔΑ. καὶ τί δὴ πράξασιν αὐτοῖς ὧδ' ἐπιστενάζετε;
ΒΑ. ναυτικὸς στρατὸς κακωθεὶς πεζὸν ὤλεσε στρατόν.
ΔΑ. ὧδε παμπήδην δὲ λαὸς πᾶς κατέφθαρται δορί;
ΒΑ. πρὸς τάδ', ὡς Σούσων μὲν ἄστυ πᾶν κενανδρίαι στένει –
ΔΑ. ὢ πόποι κεδνῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ.
ΒΑ. Βακτρίων δ' ἔρρει πανώλης δῆμος, †οὐδέ τις γέρων†.
ΔΑ. ὢ μέλεος, οἵαν ἄρ' ἥβην ξυμμάχων ἀπώλεσεν.
ΒΑ. μονάδα δὲ Ξέρξην ἔρημόν φασιν οὐ πολλῶν μέτα –
ΔΑ. πῶς τε δὴ καὶ ποῖ τελευτᾶν; ἔστι τις σωτηρία;
ΒΑ. ἄσμενον μολεῖν γέφυραν γαῖν δυοῖν ζευκτηρίαν.
ΔΑ. καὶ πρὸς ἤπειρον σεσῶσθαι τήνδε, τοῦτ' ἐτήτυμον;
ΒΑ. ναί· λόγος κρατεῖ σαφηνὴς τοῦτό γ'· οὐκ ἔνι στάσις.
ΔΑ. φεῦ· ταχεῖά γ' ἦλθε χρησμῶν πρᾶξις, εἰς δὲ παῖδ' ἐμὸν
Ζεὺς ἀπέσκηψεν τελευτὴν θεσφάτων· ἐγὼ δέ που
διὰ μακροῦ χρόνου τάδ' ηὔχουν ἐκτελευτήσειν θεούς·
ἀλλ' ὅταν σπεύδηι τις αὐτός, χὠ θεὸς ξυνάπτεται.
νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν ηὑρῆσθαι φίλοις.
παῖς δ' ἐμὸς τάδ' οὐ κατειδὼς ἤνυσεν νέωι θράσει,
ὅστις Ἑλλήσποντον ἱρὸν δοῦλον ὣς δεσμώμασιν
ἤλπισε σχήσειν ῥέοντα, Βόσπορον ῥόον θεοῦ,

728 ὤλεσε λαόν R, possis -σεν λεών (cf. 383) 729 λαὸς πᾶς] πᾶς στρατὸς W*ε*, πᾶς στρατηγὸς *λ* 730 μὲν] μέγ' (119) Meyer κενανδρία M^{c}IY (cf. 295): -ίαις A, nescio quid D: -ίαν M^{a}? et fere cett. στένειν *γ* 731 κενῆς $I^{γρ}$*γδελ* (non Θ) 732 οὐδέ τις πέρι Gomperz: fort. οὐδ' ἔτι σπορά (cf. Ag. 528) 733 οἵων ADN^{ss}+ συμμάχων W*ελ* 735 καὶ πῆ AN+ τελευτᾶν M$I^{γρ}$H+: -τᾶ fere cett. ἔστί MW τίς plerique 736 φυγεῖν $M^{γρ}$ γαῖν Askew[2]: ἐν *Ω* (γαίαιν O^{2mg}(gl.?)) δυεῖν I: δοϊοῖν M 738 οὐδ' Headlam[5] 57 739 δ' Y*λ* 740 ἀπέσκηψε(ν) MIH^{a}+*γ*A: ἐπ- cett. 741 ἐκτελευτῆσαι H*δεκλ* 742 χ' ἡ $P^{γρ}$ (ἤγουν ἡ ἐριννύς) ξυν- Brunck[1]: συν- *Ω* 743 εὑρῆσθαι *Ω*: corr. Dind.[4] 744 (et 748) ἤνυσεν M: ἤνυσε cett. (-εν *τ*) 745 ἱρὸν MI*δ*Q: ἱερὸν cett. 746 Βοσπόρου ... θοοῦ Blomf.[6] ῥοὰς Rc post h. v. deficit N

καὶ πόρον μετερρύθμιζε, καὶ πέδαις σφυρηλάτοις
περιβαλὼν πολλὴν κέλευθον ἤνυσεν πολλῶι στρατῶι.
θνητὸς ὢν θεῶν τε πάντων ὤιετ', οὐκ εὐβουλίαι,
καὶ Ποσειδῶνος κρατήσειν· πῶς τάδ' οὐ νόσος φρενῶν
εἶχε παῖδ' ἐμόν; δέδοικα μὴ πολὺς πλούτου πόνος
οὑμὸς ἀνθρώποις γένηται τοῦ φθάσαντος ἁρπαγή.
ΒΑ. ταῦτά τοι κακοῖς ὁμιλῶν ἀνδράσιν διδάσκεται
θούριος Ξέρξης· λέγουσι δ' ὡς σὺ μὲν μέγαν τέκνοις
πλοῦτον ἐκτήσω ξὺν αἰχμῆι, τὸν δ' ἀνανδρίας ὕπο
ἔνδον αἰχμάζειν, πατρῶιον δ' ὄλβον οὐδὲν αὐξάνειν·
τοιάδ' ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν
τήνδ' ἐβούλευσεν κέλευθον καὶ στράτευμ' ἐφ' Ἑλλάδα.
ΔΑ. τοιγάρ σφιν ἔργον ἐστὶν ἐξειργασμένον
μέγιστον, αἰείμνηστον, οἷον οὐδέπω
τόδ' ἄστυ Σούσων ἐξεκείνωσεν πεσόν,
ἐξ οὗτε τιμὴν Ζεὺς ἄναξ τήνδ' ὤπασεν,
ἕν' ἄνδρ' ἁπάσης Ἀσίδος μηλοτρόφου
ταγεῖν ἔχοντα σκῆπτρον εὐθυντήριον.
Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ,
ἄλλος δ' ἐκείνου παῖς τόδ' ἔργον ἤνυσεν·
φρένες γὰρ αὐτοῦ θυμὸν ᾠακοστρόφουν.

749 post ὤν (ἐών *β*) interpungunt plerique τε NcQ^2K: δὲ cett. ὢν δὲ θεῶν τε Doederlein[0] 751 πόνος] πόρος H^2ADV+ (contra Φ) 752 ἀνθρώποις] ἀντραπεὶς Zakas cl. 163 ἁρπαγῆ(ι) ΣM^sH+Y 753 τοι Dind.[4]: τοῖς *Ω* 755 **redit B** ξὺν Brunck[1]: σὺν *Ω* 757 κλυὼν Wil.[19] 758 ἑλλάδι AD (ἑλλᾶ W): ἑλλάδος Y^c 760 αἰεί- *τ*: ἀεί- *Ω* 761 ἐξεκείνωσε(ν) M*κλ*: -κένωσε cett. Σούσων τ' ... πέδον Broadhead[3] (at v. 119.535.730) 763 ἁπάσης M*κλ*: πάσης cett. ἀσίδος MI*δ*V+: ἀσίας *β*: ἀσιάδος *γκλ* 764 ἰθυντήριον H^1B*γ*D 766 ἄλλος] nomen desid. Bentley[3]; Artaphernem intell. Σ ob 767, historia repugnante 767 post 776 trai. Siebelis 130: melius post 777 staret αὐτῶ K οἰακ- *Ω*: corr. Porson[1]

τρίτος δ' ἀπ' αὐτοῦ Κῦρος, εὐδαίμων ἀνήρ,
ἄρξας ἔθηκε πᾶσιν εἰρήνην φίλοις,
Λυδῶν δὲ λαὸν καὶ Φρυγῶν ἐκτήσατο
Ἰωνίαν τε πᾶσαν ἤλασεν βίαι·
θεὸς γὰρ οὐκ ἤχθηρεν, ὡς εὔφρων ἔφυ.
Κύρου δὲ παῖς τέταρτος ηὔθυνε στρατόν·
πέμπτος δὲ Μάρδος ἦρξεν, αἰσχύνη πάτραι
θρόνοισί τ' ἀρχαίοισι· τὸν δὲ σὺν δόλωι
Ἀρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις
ξὺν ἀνδράσιν φίλοισιν, οἷς τόδ' ἦν χρέος.
ἕκτος δὲ Μάραφις· ἕβδομος δ' Ἀρταφρένης
κἀγώ· πάλου δ' ἔκυρσα τοῦπερ ἤθελον.
κἀπεστράτευσα πολλὰ σὺν πολλῶι στρατῶι,
ἀλλ' οὐ κακὸν τοσόνδε προσέβαλον πόληι·
Ξέρξης δ' ἐμὸς παῖς νέος ἐὼν νέα φ'ρονεῖ,
κοὐ μνημονεύει τὰς ἐμὰς ἐπιστολάς.
εὖ γὰρ σαφῶς τόδ' ἴστ', ἐμοὶ ξυνήλικες·
ἅπαντες ἡμεῖς, οἳ κράτη τάδ' ἔσχομεν,
οὐκ ἂν φανεῖμεν πήματ' ἕρξαντες τόσα.

769 πᾶσαν I^{t}O W V + 772 θεοὺς Lc ἔμφρων *β* 773 τέταρτον K Ξa ηὔθυνε Brunck[1]: ἤθ- M^{a} Q: ἴθ- fere cett. 774 μάρδις (ci. Σ) M^{s}: Μέρδις Rutgers 231 πάτρα(ι) M^{s} I W^{t} Va *κ λ*: -η(ι) M^{t} *γ* A W^{c}: -ας *β*: -ης O^{1} D V + 776 διαφέρνης $Fc^{γρ}$ $K^{γρ}$ (ex Hellanico ap. Σ) 778 improbat Σ, del Schütz[2] 124 μάραφις M I^{c} *β* O^{1} Va, μαράφης Y: μάρφις I^{a} O^{a} *δ* V +: μάραφνις *κ λ*: μάρφνης $Fc^{γρ}$ fort. ἑβδόμω δ' *κ*: τ' B + AD: om. cett. 779 δ' ἔκυρσα πάλου I W V +: δ' ἔκυρσα τοῦπερ ἤθελον πάλου $P^{γρ}$ (quo accepto ἐγὼ pro κἀγὼ Wil.[18] 55) δ'] τ' Q^{1} K^{1} *λ* 781 πόλει *Ω* 782 νέος ἐὼν M I: νέος ὢν plerique: ὢν νέος Tricl. (G F $T^{σ}$ K^{s} Lc): νέος ἔτ' ὢν (cf. Cho. 755) Martin[3] φρονεῖ νέα Erfurdt[1] ad Ai. 1109 784 οὐ γάρ, Heimsoeth[2] 75 785 εἰ C^{2} 786 φανεῖμεν M: φανῆμεν *γ* A K, φάνημεν Φ I *β* W *ε* Q *λ*: φανῶμεν B^{ss} D

ΧΟ. τί οὖν ἄναξ Δαρεῖε, ποῖ καταστρέφεις
λόγων τελευτήν; πῶς ἂν ἐκ τούτων ἔτι
πράσσοιμεν ὡς ἄριστα Περσικὸς λεώς;
ΔΑ. εἰ μὴ στρατεύοισθ' εἰς τὸν Ἑλλήνων τόπον,
μηδ' εἰ στράτευμα πλεῖον ἦι τὸ Μηδικόν·
αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει.
ΧΟ. πῶς τοῦτ' ἔλεξας; τίνι τρόπωι δὲ συμμαχεῖ;
ΔΑ. κτείνουσα λιμῶι τοὺς ὑπερπόλλους ἄγαν.
ΧΟ. ἀλλ' εὐσταλῆ τοι λεκτὸν ἀροῦμεν στόλον.
ΔΑ. ἀλλ' οὐδ' ὁ μείνας νῦν ἐν Ἑλλάδος τόποις
στρατὸς κυρήσει νοστίμου σωτηρίας.
ΧΟ. πῶς εἶπας; οὐ γὰρ πᾶν στράτευμα βαρβάρων
περᾶι τὸν Ἕλλης πορθμὸν Εὐρώπης ἄπο;
ΔΑ. παῦροί γε πολλῶν, εἴ τι πιστεῦσαι θεῶν
χρὴ θεσφάτοισιν, εἰς τὰ νῦν πεπραγμένα
βλέψαντα· συμβαίνει γὰρ οὐ τὰ μέν, τὰ δ' οὔ.
κεἴπερ τάδ' ἐστί, πλῆθος ἔκκριτον στρατοῦ
λείπει κενῇσιν ἐλπίσιν πεπεισμένος,
μίμνουσι δ' ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς
ἄρδει, φίλον πίασμα Βοιωτῶν χθονί·
οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν,
ὕβρεως ἄποινα κἀθέων φρονημάτων,
οἳ γῆν μολόντες Ἑλλάδ' οὐ θεῶν βρέτη
ἠιδοῦντο συλᾶν οὐδὲ πιμπράναι νεώς,
βωμοὶ δ' ἄϊστοι, δαιμόνων θ' ἱδρύματα
πρόρριζα φύρδην ἐξανέστραπται βάθρων.

791 choro trib. $\beta\delta$L μηδ' ἦν Rc[2] 793 ξυμμαχεῖ WV+ 794 κτείνασα γA ὑπερπόλλους M[a]: -πώλους M[s]ΦΙδV+: -κόμπους (ex 827?) I[γρ]$\beta\gamma$A[γρ]$\kappa\lambda$ 795 εὐστελῆ MH[γρ]γAV τε B+WDV*+$\kappa\lambda$ 802 βλέψοντα H+: βλέποντα OY[a]? 804 κεναῖσιν Ω 806 φίλος ΜΦΙ[γρ]$\beta\gamma$AQ (non Θ) χθονὸς W[ss] 807–82 deest H 808 ὕβρεων KLb 810 πιμπρᾶν τοὺς $\kappa\lambda$ 811 θ' IQ[2]K[2]λ: om cett.: δ' Havet[3] 113.127 cf. Ag. [527]

τοιγὰρ κακῶς δράσαντες οὐκ ἐλάσσονα
πάσχουσι, τὰ δὲ μέλλουσι, κοὐδέπω κακῶν
κρηπὶς ὕπεστιν, ἀλλ᾽ ἔτ᾽ ἐκπιδύεται.
τόσος γὰρ ἔσται πελανὸς αἱματοσφαγής
πρὸς γῆι Πλαταιῶν Δωρίδος λόγχης ὕπο·
θῖνες νεκρῶν δὲ καὶ τριτοσπόρωι γονῆι
ἄφωνα σημανοῦσιν ὄμμασιν βροτῶν
ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν·
ὕβρις γὰρ ἐξανθοῦσ᾽ ἐκάρπωσε στάχυν
ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾶι θέρος.
τοιαῦθ᾽ ὁρῶντες τῶνδε τἀπιτίμια
μέμνησθ᾽ Ἀθηνῶν Ἑλλάδος τε, μηδέ τις
ὑπερφρονήσας τὸν παρόντα δαίμονα
ἄλλων ἐρασθεὶς ὄλβον ἐκχέηι μέγαν.
Ζεύς τοι κολαστὴς τῶν ὑπερκόμπων ἄγαν
φρονημάτων ἔπεστιν, εὔθυνος βαρύς.
πρὸς ταῦτ᾽ ἐκεῖνον σωφρονεῖν κεχρημένοι
πινύσκετ᾽ εὐλόγοισι νουθετήμασιν
λῆξαι θεοβλαβοῦνθ᾽ ὑπερκόμπωι θράσει.
σὺ δ᾽ ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη
ἐλθοῦσ᾽ ἐς οἴκους κόσμον ὅστις εὐπρεπὴς
λαβοῦσ᾽ ὑπαντίαζε παιδί· πάντα γὰρ
κακῶν ὑπ᾽ ἄλγους λακίδες ἀμφὶ σώματι

828 cf. Hsch. ε 6893, Phot. s. εὔθυνος

---

815 κρηνὶς ἀπέσβηκ᾽ (cf. 743) Housman[1] 323/20 ἐκπιδύεται Schütz[2]: ἐκπαιδεύεται fere ΣΩ (εἰσ- γ) 816 πελανὸς $M^{\times}Rc^{a}$: πέλανος cett. αἱματοσταγὴς P^{ss}NdT, fort. recte, at v. Ag. 1389 817 δωρίδος IB + D: -ιάδος fere cett. 818 δὲ νεκρῶν $\Phi^{\lambda vl}$T τε γV^{c}?κ et Φ^{λ} in B γένει D$Q^{t}K^{t}$ 820 δεῖ A^{t}D πονεῖν γ (contra Φ) 822 πάγκλαυστον ID 826 ἐκχέοι λ 827 κολαστὴρ Ξa 829 κεχρημένον $\Phi^{\gamma\varrho}I^{\gamma\varrho}Y^{a}$ construitur sicut χρήιζοντες 833 οἶκον γ$D^{c?}$ εὐτρεπὴς BK 834 παντὶ γάρ Canter: κάρτα γάρ Weil[11]

στημορραγοῦσι ποικίλων ἐσθημάτων.
ἀλλ' αὐτὸν εὐφρόνως σὺ πράϋνον λόγοις·
μόνης γάρ, οἶδα, σοῦ κλύων ἀνέξεται.
  ἐγὼ δ' ἄπειμι γῆς ὑπὸ ζόφον κάτω.
ὑμεῖς δὲ πρέσβεις χαίρετ', ἐν κακοῖς ὅμως
ψυχῆι διδόντες ἡδονὴν κατ' ἡμέραν·
ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ.

ΧΟ. ἦ πολλὰ καὶ παρόντα καὶ μέλλοντ' ἔτι
ἤλγησ' ἀκούσας βαρβάροισι πήματα.
ΒΑ. ὦ δαῖμον, ὥς με πόλλ' ἐσέρχεται κακῶν
ἄλγη· μάλιστα δ' ἥδε συμφορὰ δάκνει,
ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι
ἐσθημάτων κλυοῦσαν, ἥ νιν ἀμπέχει.
ἀλλ' εἶμι, καὶ λαβοῦσα κόσμον ἐκ δόμων
ὑπαντιάζειν †ἐμῶι παιδὶ† πειράσομαι·
οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν.

ΧΟ. ὢ πόποι, ἦ μεγάλας ἀγαθᾶς τε πο- str. 1
  λισσονόμου βιοτᾶς ἐπεκύρσαμεν,
    εὖθ' ὁ γεραιός
πανταρκὴς ἀκάκας ἄμαχος βασιλεύς

855 (πανταρκής) Hsch. (Cyr.) π 395

---

841 ψυχὴν BR^{a}?, ἡδονῇ $R^{a}Rc^{a}$, contra Φ καθ' ἡμέραν Ω 845 ἐσέρχεται GF: ἐπ- RT: εἰσ- Ω (κάκ' εἰσέρχεται κλ) κακῶν Schütz^{2} cl. 835: κακὰ Ω 848 κλυοῦσαν Wil.^{19}: κλύουσαν Ω 850 ἐμῶ παιδὶ MIWV+: παιδὶ ἐμῶ B+γADλ, παῖδ' ἐμῶ κ, παιδί γ' ἐμῶ τ: παῖδ' ἐμὸν ex ἐμὸν παῖδ' Rb. ἐμῶι delendum (gl., cf. 529 ubi παῖδ' ἐμὸν N. Soph. O.R. 1494. Ph. 150. O.C. 516. Eur. Herc. 1151. Hel. 238). παιδὶ ⟨ ⟩ Wiel: possis e.g. ⟨καὶ λόγοισί νιν | παρηγορῆσαι προσφιλῶς⟩ 851 v. ad 527–31 853 ἀπεκύρσαμεν D$Q^{a}$$Θ^{γρ}$ 854 γηραιὸς YWDκλ 855 παντάρχὴς $A^{γρ}$, -άρχας λ

ἰσόθεος Δαρεῖος ἆρχε χώρας.

πρῶτα μὲν εὐδοκίμους στρατιὰς ἀπε- ant. 1
φαινόμεθ᾽ ἠδὲ †νομί(σ)ματα† πύργινα
πᾶσαν ἐπ᾽ ἰθύν·
νόστοι δ᾽ ἐκ πολέμων ἀπόνους ἀπαθεῖς
⟨αὖθις ἐς⟩ εὖ πράσσοντας ἆγον {ἐς} οἴκους.

ὅσσας δ᾽ εἷλε πόλεις πόρον οὐ δια- str. 2
βὰς Ἅλυος ποταμοῖο
οὐδ᾽ ἀφ᾽ ἑστίας συθείς·
οἷαι Στρυμονίου πελάγους Ἀχε-
λωΐδες εἰσὶ πάροικοι
Θρῃΐκων ἐπαύλεις,

λίμνας τ᾽ ἔκτοθεν αἱ κατὰ χέρσον ἐ- ant. 2
ληλαμέναι πέρι πύργον
τοῦδ᾽ ἄνακτος ἀΐον,

857 ἔσχε χώραν O (-ας O^{1}) 858 εὐδοκίμους στρατιὰς Nd^{2}, -ὰς et M^{a}: -ίμου στρατιᾶς *Ω* ἀπεφαινόμεθ᾽ $Φ^{?}$ I^{ss} O^{2} Θ, -μεσθ᾽ *λ*: ἀποφαιν- Σ cett. (-μεσθ᾽ *κ*) 859 νομίματα M Y A^{1}: νομίσματα A^{a}, νόμισμα τὰ L: νόμιμα τὰ fere cett. (τὰ om. O^{a} Q): πολίσματα Keiper 15: satisfaceret ἐνοπλίσματα vel λοχίσματα 860 πᾶσαν ἐπ᾽ ἰθύν (Il. 6.79) West[7]: πάντ᾽ ἐπεύθυνον fere Σ*Ω* (ἐπέθυνον frustra metri causa M^{s} *κ τ*) 863 ⟨αὖθις ἐς⟩ Headlam[5] 56: possis ⟨πάντας ἐς⟩ ἐς ante οἴκους del. Porson[1] 864 ὅσσας M A K: ὅσας cett. 866 sq. ποταμοῖο οὐδ᾽ Burney[1]: ποταμοῦ οὐδ᾽ I *γ* A D Va Q^{a}: ποταμοῦ γ᾽ οὐδ᾽ *κ*: ποταμοῦ δ᾽ M V^{c}, ποτάμ᾽οὐδ᾽ fere Σ B W V^{a} + *λ* 871 θρῃΐκων M I *γ* A D: θρηϊκίων cett. ἐπαύλεις Wil.[19]: ἐπαύλων M I *γ* A Q? *λ*: ἐπαύλεων (sic) fere Φ cett.: τ᾽ ἐπαύλων Blass[1] 482 874 ἐληλάμεναι (proparox.) M B + *γ δ* V + $K^{\times}$ *λ* πέρι Heath: περὶ *Ω* (παρα Rc)

῞Ελλας τ' ἀμφὶ πόρον πλατὺν εὐχόμε-
ναι μυχία τε Προποντίς
καὶ στόμωμα Πόντου·

νᾶσοί θ' αἳ κατὰ πρῶν' ἅλιον περίκλυστοι str. 3
τᾶιδε γᾶι προσήμεναι,
οἵα Λέσβος ἐλαιόφυτός τε Σάμος,
Χίος ἠδὲ Πάρος, Νάξος, Μύκονος,
Τήνωι τε συνάπτουσ' Ἄνδρος ἀγχιγείτων·

καὶ τὰς ἀγχιάλους ἐκράτυνε μεσάκτους, ant. 3
Λῆμνον Ἰκάρου θ' ἕδος
καὶ Ῥόδον ἠδὲ Κνίδον Κυπρίας τε πόλεις
Πάφον ἠδὲ Σόλους Σαλαμῖνά τε, τᾶς
νῦν ματρόπολις τῶνδ' αἰτία στεναγμῶν·

καὶ τὰς εὐκτεάνους κατὰ κλῆρον Ἰ⟨α⟩όνιον epod.
πολυάνδρους
†Ἑλλάνων ἐκράτυνεν σφετέραις φρεσίν.†
ἀκάματον δὲ παρῆν σθένος ἀνδρῶν
τευχηστήρων παμμίκτων τ' ἐπικούρων.

876 τ' $\kappa\lambda$: om. Σ cett. 877 εὐχόμεναι M$O^2\kappa$: αὐχό- fere ΦI (-χώ-) WV+ λ: ἐχό- B+ γAD: ἐρχό- $I^{\gamma\varrho}Rb^c$: ἐκχύμεναι Broadhead[3] 878 μυχίαν τε Πρόποντιν Maas[6] 883 redit H 889 ἀμφιάλους Pauw (nota 888 ἀγχι-) 890 μεσάγκτους MIO^{a2}Dλ (contra Σ?) 895 sq. τὰς M$\beta O^{\times}$YD ματροπόλεις MH[O evan.]YD (non Φ) 897 στεναγμάτων Ω: corr. T^{σ} 899 ἰόνιον Ω: corr. Hermann[18] 364 900 ἐλαύνων (cf. 771) $K^{\gamma\varrho}\lambda$ ἐκράτυνεν (sic MT, -ε cett.) del. Hermann l.c. (cf. 890) φρεσίν et Σ: χερσὶν $O^{2\gamma\varrho}\kappa\lambda$ 'lacunosa haec et corrupta' Wil.[19]; verba complura deesse suspicor 902 fort. rectius τευχεστήρων τ' om. βD

νῦν δ' οὐκ ἀμφιλόγως θεότρεπτα τάδ'
αὖ φέρομεν πολέμοισι,
δμαθέντες μεγάλως πλαγαῖσι ποντίαισιν.

ΞΕΡΞΗΣ

ἰώ·
δύστηνος ἐγώ, στυγερᾶς μοίρας
τῆσδε κυρήσας ἀτεκμαρτοτάτης.
ὡς ὠμοφρόνως δαίμων ἐνέβη Περσῶν γενεᾶι·
τί πάθω τλήμων; λέλυται γὰρ ἐμῶν γυίων ῥώμη
τήνδ' ἡλικίαν ἐσιδόντ' ἀστῶν.
εἴθ' ὄφελε Ζεῦ κἀμὲ μετ' ἀνδρῶν τῶν οἰχομένων
θανάτου κατὰ μοῖρα καλύψαι.

ΧΟ. ὀτοτοῖ βασιλεῦ, στρατιᾶς ἀγαθῆς
καὶ Περσονόμου τιμῆς μεγάλης κόσμου τ' ἀνδρῶν
οὓς νῦν δαίμων ἐπέκειρεν.

903 ἀμφιβόλως Σ_I^{λ} B^{gl} D^{gl} V + 904 θεότρεπτα Φ I^c *β* O^2 Y *δ* V^2 + K *λ*: -πρεπτα M I^a O V: -θρεπτα $\Phi^{\gamma\varrho}$ Q 905 post φέρομεν interpungunt nonnulli πολέμοιο Weil[11] 907 πλαγαῖσί τε *λ*, -αῖς τε Brunck[1] 908 ἰώ ἰώ T, cf. Diggle[3] 910 ἀτεκμαρτοτάτως HA: -τάτας *κ λ* 911 ἐνέβη δαίμων *γ* (om. περσῶν – τλήμων) 913 ἐμοὶ Fc^{gl}, Schütz[2] γυίων] μελέων A W et gl. in IHV 915 ὄφελε(ν) M*τ*: ὤφελε fere Φ cett. ζεῦ M I^a? Q *τ* (T^{σ}): ζεὺς Φ cett. 918 ὀτοτοῖ I A: ὀτοτοτοῖ M Q, ὀττοτοτοὶ K: ὀττοτοῖ vel -τοὶ fere cett. τ' ἀγαθῆς Lc Rb^1 921 ἀπέκειρε A W V + : ἐπέκυρε D: ἀπέκτεινε *λ*: fort. ἐπέκερσεν (cf. 953. Supp. 666)

γᾶ δ' αἰάζει τὰν ἐγγάιαν — prood.
ἥβαν Ξέρξαι κταμέναν, Ἅιδου σάκτορι Περσᾶν·
ἀγδαβάται γὰρ πολλοὶ φῶτες,
χώρας ἄνθος, τοξοδάμαντες,
πάνυ ταρφύς τις μυριὰς ἀνδρῶν, ἐξέφθινται.
αἰαῖ αἰαῖ κεδνᾶς ἀλκᾶς·
Ἀσία δὲ χθών, βασιλεῦ γαίας,
αἰνῶς αἰνῶς ἐπὶ γόνυ κέκλιται.

ΞΕ. ὅδ' ἐγών, οἰοῖ αἰακτός· — str. 1
μέλεος γένναι γᾶι τε πατρώιαι
κακὸν ἄρ' ἐγενόμαν.

922 (αἰάζει) cf. Hsch. α 1655, Sud. αι 4

922–7 Xerxi trib. Lachmann[2] 17   922 γαῖα AV + Kλ   ἐγγᾶιαν cf. Supp. 59: ἐγγαίαν ΣΦIγε, ἐγγαῖαν MKλ: ἀγγαίαν βA, ἀγγαῖαν D   hic deficit L   923 Ξέρξαι (-η γWV*Q)] Ἄρει Hartung, cf. Θ τῷ σάκτορι τοῦ Ἅιδου ἤτοι τῷ Ἄρει, δι' οὗ πληροῦται ὁ Ἅιδης νεκρῶν, et 952   fort. Ἀΐδα   925 ἀγδαβάται vox ignota (ἔθνος Περσῶν Σ): Αἰδοβάται Passow[2] (cui se auctorem fuisse dicit Hermann[32]): Ἀγβατάνων Brunck[1] (duce Wesseling ad Hdt. 1.42)   927 ταρφύς τις Franz ap. Dind.[6] xx: γὰρ φύστις fere ΣΩ (φύσις HD)   928 Xerxi tribuunt codd., dempsit Wellauer[2]   αἲ quater Lc: bis tantum (vel αἶ bis) cett.: αἰαῖ βασιλεῦ Wil.[19] qui 929 β. γαίας delet   929 ἀσίας I[c]γA: possis Ἀσιὰς vel (Wecklein[17]) Ἀσὶς, at cf. 584   γαίας] κλαίουσ' Newman[1] 9   931 κέκλιται γνύξ Tucker[5] (Ap. Soph. 55.15 γνύξ· ἐπὶ γόνυ), scite nisi quod rhythmo ⏑ ⏑ ⏖ ⏑ ⏑ – in sequentibus (934–73) gaudet poeta   932 ἐγὼ LbNd[2], Dind.[4]   933 πατρῴᾳ Φ?DT: πατρία cett.

ΧΟ. πρόσφθογγόν σοι †νόστου τὰν†
κακοφάτιδα βοάν, κακομέλετον ἰὰν
Μαριανδυνοῦ θρηνητῆρος
πέμψω πέμψω πολύδακρυν. {ἰαχάν}

ΞΕ. ἵετ' αἰανῆ {καὶ} πάνδυρτον ant. 1
δύσθροον αὐδάν· δαίμων γὰρ ὅδ' αὖ
μετάτροπος ἐπ' ἐμοί.
ΧΟ. ἥσω τοι καὶ πάνυ, λαοῦ
πάθεα σεβίζων ἁλίτυπά τε βάρη
πόλεως, γέννας· πενθητῆρος
κλάγξω δ' αὖ γόον ἀρίδακρυν.

⟨ΞΕ.⟩ Ἰάων γὰρ ἀπηύρα, str. 2
Ἰάων ναύφαρκτος ἄρης ἑτεραλκὴς
νυχίαν πλάκα κερσάμενος
δυσδαίμονά τ' ἀκτάν.

938 Phot. s. Μαριανδυνὸν θρηνητήν, Eu. in D.P. 787 949 (ἀρίδ.) Poll. 2.63

---

935 πρόσφθογγον Σκ: προσφθόγγου Θτ: προφθόγγου MWRb[a], -ους ex -ας H: πρόφθογγον R[a]RcLa: πρὸ φθόγγου Φ cett. νόστου ⟨ταύ⟩ταν Page[3]: νοστοῦντι Snell[2]: fort. ⟨∪ ∪⟩ νόστου (deleto τὰν) 940 ἰαχὰν del. Snell[2] 941 αἰανὴν I[r]γWDV+ καὶ del. Passow[1] 50 πανόδυρτον Ω: corr. C. Schneider ap. Passow l.c. 944sq. πάνυ, λαοῦ πάθεα West[7]: πανόδυρτον (941) λαοπαθῆ τε Ω (τε om. IV): λίαν, λαοῦ τὰ πάθεά τε σέβων Blomf.[6] (σὰ π. τε σέβων iam Burney[1]); cf. Σ τὰ πάθη τῶν λαῶν σέβων 946 ita interpunxit Blomf.[6] 948 κλάγξω κλάγξω Passow l.c., deinde δ' ἀρίδακρυν ἰαχάν Prien[3] 230 950–4 Xerxi trib. Lachmann[1] 99 950 Ἰάων Blomf.[6]: ἰάνων Ω (ἰαόνων B+WD, ἰώνων V+) 951 ἰάων M[a]: ἰάνων M[s] et fere cett. (singuli sicut 950) ναύφαρκτος Dind.[4]: ναύφρακτος Ω

ΧΟ. οἰοιοῖ βόα καὶ πάντ' ἐκπεύθου.
ποῦ δὲ φίλων ἄλλος ὄχλος;
ποῦ δέ σοι παραστάται,
οἷος ἦν Φαρανδάκης,
Σούσας, Πελάγων καὶ Δατάμας
ἠδὲ {ἀγαβάτας} Ψάμμις Σουσισκάνης τ'
Ἀγβάτανα λιπών;

ΞΕ. ὀλοοὺς ἀπέλειπον ant. 2
Τυρίας ἐκ ναὸς ἔρροντας ἐπ' ἀκταῖς
Σαλαμινι⟨ά⟩σι, στυφέλου
θείνοντας ἐπ' ἀκτᾶς.
ΧΟ. οἰοιοῖ, †ποῦ δέ† σοι Φαρνοῦχος
Ἀριόμαρδός τ' ἀγαθός;
ποῦ δὲ Σευάλκης ἄναξ
ἢ Λίλαιος εὐπάτωρ,
Μέμφις, Θάρυβις καὶ Μασίστρας

955. 967 (οἰοιοῖ) Ap. Dysc. Adv. 177.4 Schn.

---

955 choro trib. Lachmann[1] 99: Xerxi *Ω* 957 παρίσταται *γ*AD 959 Τενάγων (306) Hartung Δατάμας Passow[1] 52: δοτάμας vel δόταμας fere *Ω* 960 ἀγαβάτας (ex 961 ortum; ἀγδα- ex 925 B + *τ*) del. Passow l.c. ψάμβις I: ψάμμης O 961 τἀγβάτανα M, ταγβ- D: τ'ἀκβ- fere cett. 962 ἀπέλειπον M: ἀπέλιπον cett. 964 ἄκραις Pauw 965 σαλαμινῖσι(ν) vel -μινίσι *Ω*: corr. Hermann[1] 428 στυφέλους *β* 967 δή P^{ss} ποῦ δή, ⟨ποῦ⟩ σοι Page[3]: ⟨βόα⟩, ποῦ σοι Hermann[32] 968 'Αριό- Pauw: κ'ἀριό- vel καριό- codd.: τ' Ἀριό- Lachmann[1] 100 τ'] γ' Pauw ('si κ' Ἀριόμαρδος retineas') 969 σευάγκης IVa: σεβάλλης *β*, σευάλλης DR^{a}: σεμάλκης W+: σεμάκτης V ἄραψ P^{t} 970 καὶ Blaydes[3] 199 λιλαῖος La 971 μέμφθις ILa^{c} Μασίστας Weil[11], cf. ad 30

Ἀρτεμβάρης τ' ἠδ' Ὑσταίχμας;
τάδε σ' ἐπανερόμαν.

ΞΕ. ἰώ, ἰώ μοι· str. 3
τὰς ὠγυγίους κατιδόντες
στυγνὰς Ἀθάνας πάντες ἑνὶ πιτύλωι,
ἐἕ, ἐἕ, τλάμονες ἀσπαίρουσι χέρσωι.
ΧΟ. ἦ καὶ Περσᾶν τὸν ἄωτον,
τὸν σὸν πιστὸν πάντ' ὀφθαλμόν,
μυρία μυρία πεμπαστάν
⟨– – – –⟩, Βατανώχου
παῖδ' ἄλπιστον
τοῦ Σεισάμα τοῦ Μεγαβάτα,
Πάρθόν τε μέγαν τ' Οἰβάρην
ἔλιπες ἔλιπες; ὢ ὢ δαΐων·
Πέρσαις ἀγαυοῖς κακὰ πρόκακα λέγεις.

979. 981–2 resp. Tz. Hist. 10.723–4

---

973 ἐπανέρομαι fere Ω: corr. Meineke[1] 175 (-όμην), Wellauer[2] 974 μοι semel βD[a]: bis cett. 975 ὠγυγίας H[a]D 977 ἔ quater τ (post τλάμονες), K[2]: ter Ω (bis I). metrum iambicum explet singultus ἀπαίρουσι ΦI[t]DQ[a2] 978 Περσᾶν τὸν ἄωτον Page[3]: τὸν (τῶν M[a]βD) περσῶν αὐτοῦ (αὐτον W[t], αὐτὸν Xc) Ω. similis corruptela Simon. 543.8 981 lac. hic stat. West[7], post Σησάμα (sic) Wellauer[2], post Ἄλπιστον Hermann[32] de Βαγανώχου cogit. R. Schmitt 54 982 ἄλφιστον O[1]Y: tamquam viri nomen codd., Tz., edd. praeter Wecklein[11] qui ἄλπνιστον (sed ἄλπιστον verum est, v. Wackernagel[3]). nota Pind. Isth. 5.12 ἄωτον … τὸν ἄλπ(ν)ιστον 983 σεισάμα C, σεισάβη Xc (cf. 322): σησάμα fere Ω (-μου γW): Σισάμνα (Hdt. 5.25) L. Dindorf VII 199 984 πάρθόν sic IRb τυβάνωρ' γ: fort. θ' Οἰβάρην (*Vahībāra: R. Schmitt 43) post hunc iterum τ' codd. praeter γτ 985 ὢ ὢ ⟨ὢ⟩ δάιων Dind.[1] (⟨οἵ'⟩ ὢ ὢ Hermann[32]) ut fiat dim. anap.

ΞΕ. ἴυγγά μοι δῆτ' ant. 3
ἀγαθῶν ἑτάρων ἀνακινεῖς
⟨ἄλαστ'⟩ ἄλαστα στυγνὰ πρόκακα λέγων.
βοᾶι βοᾶι ⟨μοι⟩ μελέων ἔνδοθεν ἦτορ.
ΧΟ. καὶ μὴν ἄλλους γε ποθοῦμεν,
Μάρδων ἀνδρῶν μυριόταγον
Ξάνθην Ἄριόν τ' Ἀγχάρην
Δίαιξίν τ' ἠδ' Ἀρσάκην
ἱππιάνακτας,
†κηγδαδάταν† καὶ Λυθίμναν
Τόλμόν τ' αἰχμᾶς ἀκόρεστον·
ἔταφον ἔταφον οὐκ ἀμφὶ σκηναῖς
τροχηλάτοισιν ὄπιθεν ἑπομένους.

ΞΕ. βεβᾶσι γὰρ τοῖπερ ἀγρέται στρατοῦ. str. 4
ΧΟ. βεβᾶσιν, οἴ, νώνυμοι.
ΞΕ. ἰὴ ἰή, ἰὼ ἰώ.
ΧΟ. ἰὼ ἰὼ δαίμονες,

989 ἐσθλῶν Weil[11] ἀνακινεῖς Headlam[4] 299: ὑπομιμνήσκεις *Ω*: ὑπορίνεις Hermann[32] 990 ⟨ἄλαστ'⟩ Hermann[32] 991 ⟨μοι⟩ Dind.[4] ἔντοσθεν Blomf.[6], at v. Dale[1] 110/33 992 ἄλλους Prien[3] 217: ἄλλο *Ω* (ἄλλον I[c]) 993 μυριοταγὸν Dind.[4] (-όταγον Wil.[19]): μυριόταρχον M[a] H (-ο τ-) Q[a]?: -όνταρχον M[1] cett.: -όναρχον TF: -άδαρχον Blomf.[6] 994 ἄρειόν *Ω*: corr. Ahrens[1] 10 n. 995 ἀρσά⟦ ⟧ην Lc: Ἀρσάμην (37.308) Burney[1] 997 κηγδα- MB + V*κ*: κιγδα- I*γδ*: καγδα- H (cf. 925): καὶ Δαδάταν vel Γαδάταν Weil[11]: καὶ Δαδάκαν Wil.[19] 998 τ' *κ*: om. cett. 999 (ἔταφον) Xerxi trib. *Ω*: corr. Passow[1] 55 1001 -οισιν ὄπισθεν δ' *Ω* (-οισι δ' ὄπισθεν *γ*, -οισι δ' ὄπισθεν δ' D): corr. Bothe[1] ἑπομένους Hartung: -όμενοι *Ω*: -όμενον Havet[3] 129 1002 τοῖπερ West[7] (τοίπερ Passow[1] 56): οἵπερ *Ω* ἀγρέται Toup IV 353: ἀγρόται *Ω*: ἀκρόται Σ[γρ] 1003 νώνυμνοι M

⟨ὡς⟩ ἔθετ' ἄελπτον κακόν
διαπ´ρέπον· οἷον δέδορκεν Ἄτα.

ΞΕ. πεπλήγμεθ', οἵ, τᾶς δι' αἰῶνος τύχας – ant. 4
ΧΟ. πεπλήγμεθ'· εὔδηλα γάρ –
⟨ΞΕ.⟩ νέᾱι νέᾱι δύᾱι δύᾱι –
ΧΟ. Ἰαόνων ναυβατᾶν
κύρσαντες οὐκ εὐτυχῶς·
δυσπόλεμον δὴ γένος τὸ Περσᾶν.

ΞΕ. πῶς δ' οὔ; στρατὸν μὲν τοσοῦ- str. 5
τον τάλας πέπληγμαι.
ΧΟ. τί δ' οὐκ ὄλωλεν, μεγάλατε Περσᾶν;
ΞΕ. ὁρᾶις τὸ λοιπὸν τόδε τᾶς ἐμᾶς στολᾶς;
ΧΟ. ὁρῶ, ὁρῶ. ΞΕ. τόνδέ τ' ὀϊστοδέγμονα –
ΧΟ. τί τόδε λέγεις σεσωμένον;
ΞΕ. θησαυρὸν βελέεσσιν;
ΧΟ. βαιά γ' ὡς ἀπὸ πολλῶν.
ΞΕ. ἐσπανίσμεθ' ἀρωγῶν.
ΧΟ. Ἰάνων λαὸς οὐ φυγαίχμας.

1006 ⟨ὡς⟩ Johansen[4] 327 (cf. 472.515.845.911): ἔθετ' ⟨ἄρ'⟩ Lachmann[1] 102 ἔλθετ' H + Y: ἔθεντ' D 1007 δέδωκεν I[ss] ἄταν I[ss] V + : ἄπαν *δ* 1008 οἵ, τᾶς ... τύχας West[7] ('de fortuna longaeva qua utebamur', cf. 158. Supp. 582. Ag. 554. Eum. 563): οἷαι (M) vel οἷαι ... τύχαι fere *Ω* (οἷα *γ*) δι' αἰῶνος] δαίμονος (cf. 1005) M[γρ] I[γρ]: οἵ, τᾶιδε δαίμ. G.H. Schütz 1010 Xerxi reddidit Hermann[32] νέαι νέαι δύαι δύαι *Ω* (νέα νέα V) 1011 ἰαόνων B + WD, ἰαώνων V: ἰάνων cett. 1016 τίς δ' D μεγάλατε M*β*: μεγάλα τὰ Σ, fere cett. 1018 τᾶσδε τᾶς *κ* 1020 τόνδε Porson[6] 157: τάνδε fere *Ω* (τὰνδέ M, τάνδέ I*γ*D, τανδί *τ*), sc. φαρέτραν? 1021 σεσωσμένον *Ω*: corr. Wecklein[1] 62 1022 βέλεσσιν M, βέλεσι fere cett.: corr. T 1025 ἰάνων I: ἰαόνων cett.: Ἰάων Hermann[32]

ΞΕ. ἄγαν ἄρειος· κατεῖ- ant. 5
δον δὲ πῆμ’ ἄελπτον.
ΧΟ. τραπέντα ναύφαρκτον ἐρεῖς ὅμιλον;
ΞΕ. πέπλον δ’ ἐπέρρηξ’ ἐπὶ συμφορᾶι κακοῦ.
ΧΟ. παπαῖ παπαῖ. ΞΕ. καὶ πλέον ἢ παπαῖ μὲν οὖν.
ΧΟ. δίδυμα γάρ ἐστι καὶ τριπλᾶ
ΞΕ. λυπρά· χάρματα δ’ ἐχθροῖς.
ΧΟ. καὶ σθένος γ’ ἐκολούθη.
ΞΕ. γυμνός εἰμι προπομπῶν.
ΧΟ. φίλων ἄταισι ποντίαισιν.

ΞΕ. δίαινε διαῖνε πῆμα· πρὸς δόμους δ’ ἴθι. str. 6
ΧΟ. αἰαῖ αἰαῖ, δύα δύα.
ΞΕ. βόα νυν ἀντίδουπά μοι.
ΧΟ. δόσιν κακὰν κακῶν κακοῖς.
ΞΕ. ἴυζε μέλος ὁμοῦ τιθείς.
ΧΟ. ὀτοτοτοτοῖ·
βαρεῖά γ’ ἅδε συμφορά·
οἴ, μάλα καὶ τόδ’ ἀλγῶ.

ΞΕ. ἔρεσσ’ ἔρεσσε καὶ στέναζ’ ἐμὴν χάριν. ant. 6
ΧΟ. διαίνομαι γοεδνὸς ὤν.
ΞΕ. βόα νυν ἀντίδουπά μοι.

1040 Plato Com. fr. 226 K-A

1026 ἀγανόρειος *Ω* (-όριος I A W): corr. Wellauer[2], cf. Σ **1028** ναύφαρκτον Dind.[4]: ναύφρακτον *Ω* **1029** δέ γ’ ἔρρηξ’ Blaydes[3] 199 **1033** possis πάρεστι **1035** ἐκολούθη W D V + Q +: -ούσθη fere cett. **1037** possis φίλων γ’ **1038** τ’ *γ* A D V + **1039** et **1047** invicem trai. Butler **1040** νῦν *Ω*: corr. T (item 1048.1050.1066) **1043** regem chorumque simul vociferari censuit Conradt[2] ὀτοτοτοτοῖ (sive -τοὶ) M I H + *τ*: varie cett. **1044** δ’ $P^{\gamma\rho}$ post h. v. **deficit H** **1045** οἴ] οἴμοι B + *δ* possis μάλα, κάρτα δ’: μαλερὸν τόδ’ ἄλγος Todt[5] 567 (ἄλγος iam Merkel[3])

ΧΟ. μέλειν πάρεστι, δέσποτα.
ΞΕ. ἐπορθίαζέ νυν γόοις.
ΧΟ. ὀτοτοτοτοῖ·
μέλαινα δ' ἀμμεμίξεται,
οἵ, στονόεσσα πλαγά.

ΞΕ. καὶ στέρν' ἄρασσε κἀπιβόα τὸ Μύσιον. str. 7
ΧΟ. ἄνια ἄνια.
ΞΕ. καί μοι γενείου πέρθε λευκήρη τρίχα.
ΧΟ. ἄπριγδ' ἄπ'ριγδα, μάλα γοεδνά.
ΞΕ. ἀΰτει δ' ὀξύ. ΧΟ. καὶ τάδ' ἔρξω.

ΞΕ. πέπλον δ' ἔρεικε κολπίαν ἀκμῆι χερῶν. ant. 7
ΧΟ. ἄνια ἄνια.
ΞΕ. καὶ ψάλλ' ἔθειραν καὶ κατοίκτισαι στρατόν.
ΧΟ. ἄπριγδ' ἄπ'ριγδα, μάλα γοεδνά.
ΞΕ. διαίνου δ' ὄσσε. ΧΟ. τέγγομαί τοι.

ΞΕ. βόα νυν ἀντίδουπά μοι. epod.
ΧΟ. οἰοῖ οἰοῖ.

1054 (ἐπιβόα –) Hsch. ε 4645, Eu. in D.P. 787

1049 μέλειν M O[2] Y W + Q[c]: μέλλειν cett. 1051 ὀτοτοτοτοῖ (sive -τοὶ) M I A τ: varie cett. 1052 ἀμμεμίξεται M[a]?, Dind.[12]: αὖ μεμ- M[c] cett. 1053 οἵ Lachmann[1] 104: μοι Ω 1054 βόα τὸ μ. (tantum) Eust., unde καὶ βόα Hermann[18] 123: κἀπιβῶ Dind.[4] 1055 ἄνια ter δ V + : ἄνια ἄνια κακά (cf. 256) I γ: ἀνία ἀνία Murray[1]: ἀνίᾱι ἀνίᾱι Musgrave 1056 πέρθε τ K Rb[c]: ὕπερθε(ν) cett. 1057 et 1063 ἄπριγδα prius Xerxi continuat Wil.[10] 197 (◡ – ⏓ ||) 1060 τ' I Va ἔρειδε M γ D χεροῖν G.H. Schütz 1061 φεῦ ἄνια ἄνια fere δ V* + (ἄ. ter V) 1062 post ἔθειραν deficit B 1065 σοι δ 1067 οἴ sive οἶ ter I δ Va: pluries V +

ΞΕ. αἰακτὸς εἰς δόμους κίε.
ΧΟ. ἰώ, ἰώ. {Περσὶς αἶα δύσβατος.}
ΞΕ. †ἰωὰ δὴ κατ' ἄστυ.†
ΧΟ. †ἰωὰ δῆτα, ναὶ ναί.†
ΞΕ. γοᾶσθ' ἁβροβάται.
ΧΟ. ἰώ, ἰώ· Περσὶς αἶα δύσβατος.
⟨ΞΕ. . . . . ⟩
⟨ΧΟ. . . . . ⟩
ΞΕ. ἠή ἠή, τρισκάλμοισιν
⟨ΧΟ.⟩ἠή ἠή, βάρισιν ὀλόμενοι.
⟨ΞΕ. πρόπεμπέ νύν μ' ἐς οἴκους.⟩
ΧΟ. πέμψω τοί σε δυσθρόοις γόοις.

1069 Περσὶς αἶα δύσβατος (= 1073) del. Wil.[10] 197 (totum versum iam Hartung) 1070 et 1071 ἰωὰ M^c Y Q (1071 K), ἰὼ ἆ M^a, ἰὼ ἆ O: ἰὼ cett. (bis in 1070 W V* +): fort. ἰῶια (a γοᾶσθε regendum; cf. ἰήιος), vel. e.g. ἰωᾶ δῆ⟨τ' ἴτω⟩ κατ' ἄστυ. ΧΟ. ἰωᾶ δῆτα, ναί: δῆτ' ἀν' αἶαν Weil[11] 1073 del Bothe[1] lac. stat. West[7] 1074. 1075 ἰὴ ἰὴ r ὀλόμεναι R (ὀλ-) $Δ^t$: ὀλομένα Wil.[10] 197 1075 choro redd. West[7] et proximum e.g. supplevit (χωρῶν ἐς δόμους πρόπεμπέ με Hermann[32]) 1076 πέμπω Nc

CANTICORVM METRA

Siglis utor his:

$\bar{\times}$	syllaba longa in loco ancipiti
⏑⏑	duae breves ex resolutione in loco principi
$\ddot{-}$	longa in loco bicipiti
|	finis vocabuli
||	finis periodi
|||	finis strophae
:| :||	accedit pausa syntactica
⁀	zeugma, i. e. vitatur finis vocabuli
∫	vocabulum una syllaba transgreditur colorum iuncturam
: :	mutatio personae
~	respondet stropha antistropho
!	exclamatio (extra metrum)
$\wedge$	($ia_{\wedge}$, $da_{\wedge}$, etc.) metrum seu versus catalecticus
+	(δ^{+}, io^{+}) metrum seu versus hypercatalectus
an	metrum anapaesticum
ar	versus aristophaneus
ar^{d}	versus aristophaneus dactylo auctus (ar^{2d} = duobus dactylis auctus)
ch	choriambus
cr	creticus
δ	dochmius
d/D	– ⏑ ⏑ – / – ⏑ ⏑ – ⏑ ⏑ –
D^2/D^3	– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – / – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
$_{\wedge}D$	⏑ ⏑ – ⏑ ⏑ –
da	dactyli
$da_{\wedge\wedge}$	dactyli cum brachycatalexi (...– ⏑ ⏑ –)
dod	dodrans
$\ddot{dod}$	dodrans inversus (– × – ⏑ ⏑ –)
e/E	in dactylo-epitritis cola – ⏑ – / – ⏑ – × – ⏑ –
E^2	– ⏑ – × – ⏑ – × – ⏑ –

gl	versus glyconeus
¨gl	versus glyconeus cum anaclasi (= ch ia)
hag	versus hagesichoreus
hag^c	versus hagesichoreus choriambo auctus
hδ	hypodochmius
hex	hexameter dactylicus
hi	versus hipponacteus
ia	metrum iambicum ($_\wedge$ia / ia$_\wedge$ / $_\wedge$ia$_\wedge$ = – ∪ – / ∪ – – / – – pro metro iambico)
io	metrum ionicum
2io$^{\div}$	dimeter ionicus anaclasticus (= versus anacreonteus)
ith	versus ithyphallicus
kδ	dochmius kaibelianus
lec	lecythium
mol	molossus
pe	penthemimeres
ph	versus pherecrateus
tl	versus telesilleus
tl¨	versus telesilleus cum anaclasi (× – × – ∪ ∪ –)
tr	metrum trochaicum

Praeter opera in indice criticorum memorata citantur etiam:

Dale	A.M. Dale, Metrical Analyses of Tragic Choruses, BICS Suppl. 21.1–3, 1971–83
Dale CP	eadem, Collected Papers, Cambr. 1969
Dale LM^2	eadem, The Lyric Metres of Greek Drama, ed. alt., Cambr. 1968
West GM	M.L. West, Greek Metre, Oxford 1982

ΠΕΡΣΑΙ

<table>
<tr><td>65</td><td>73</td><td>∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – – |</td><td>3io |</td></tr>
<tr><td>66/7</td><td>74/5</td><td>∪ ∪ – – | ∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – – |</td><td>4io |</td></tr>
<tr><td>68/9</td><td>76/7</td><td>∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – – |</td><td>3io |</td></tr>
<tr><td>70</td><td>78</td><td>∪ ∪ – ∪ ∪ – – |</td><td>io$_\wedge$ io |</td></tr>
<tr><td>71/2</td><td>79/80</td><td>∪ ∪ – ∪ ∪ – – ∪ ∪ – ∪ ∪ – – ∪ ∪ – – |||</td><td>io$_\wedge$ io io$_\wedge$ 2io |||</td></tr>
<tr><td></td><td></td><td></td><td></td></tr>
<tr><td>81</td><td>87</td><td>∪ ∪ – – ∪ ∪ – – |</td><td>2io |</td></tr>
<tr><td>82</td><td>88</td><td>∪ ∪ – – ∪ ∪ – – |</td><td>2io |</td></tr>
<tr><td>83</td><td>89</td><td>∪ ∪ – – ∪ ∪ – – |</td><td>2io |</td></tr>
<tr><td>84</td><td>90</td><td>∪ ∪ – – ∪ ∪ – – |</td><td>2io |</td></tr>
<tr><td>85/6</td><td>91/2</td><td>∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – ∪ – ∪ – – |||</td><td>2io 2io$^{\div}$ |||</td></tr>
<tr><td></td><td></td><td></td><td></td></tr>
<tr><td>102</td><td>108</td><td>∪ ∪ – – ∪ ∪ – ∪ ∪ – – |</td><td>io io$_\wedge$ io |</td></tr>
<tr><td>103/4</td><td>109/10</td><td>∪ ∪ – ∪ ∪ – – ∪ ∪ – – |</td><td>io$_\wedge$ 2io |</td></tr>
<tr><td>105</td><td>111</td><td>∪ ∪ – – ∪ ∪ – – |</td><td>2io |</td></tr>
<tr><td>106/7</td><td>112/3</td><td>∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – ∪ ∪ – ∪ – ∪ – |||</td><td>2io io$_\wedge$ 2io$^{\div}_\wedge$ |||</td></tr>
<tr><td></td><td></td><td></td><td></td></tr>
<tr><td></td><td>93</td><td>∪ ∪ – – ∪ ∪ – – |</td><td>2io |</td></tr>
<tr><td></td><td>94</td><td>∪ ∪ – – ∪ ∪ – – : |</td><td>2io |</td></tr>
<tr><td></td><td>95/6</td><td>∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – ∪ ∪∪ ∪ – – : |</td><td>2io 2io$^{\div}$ |</td></tr>
<tr><td></td><td>97/8</td><td>∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – |</td><td>4io$_\wedge$ |</td></tr>
<tr><td></td><td>99</td><td>∪ ∪ – $\bar{\times}$ – ∪ – – : |</td><td>2io$^{\div}$ |</td></tr>
<tr><td></td><td>100/1</td><td>∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – |||</td><td>4io$_\wedge$ |||</td></tr>
<tr><td></td><td></td><td></td><td></td></tr>
<tr><td>114</td><td>120</td><td>– ∪ – ∪ – ∪ – |</td><td>lec |</td></tr>
<tr><td>115</td><td>121</td><td>– ∪ – ∪ – ∪ – ||</td><td>lec ||</td></tr>
<tr><td>116</td><td>122</td><td>ὀᾶ ||</td><td>! ||</td></tr>
<tr><td>117</td><td>123</td><td>– ∪ – ∪ – ∪ –</td><td>lec</td></tr>
<tr><td>118</td><td>124</td><td>– ∪ – ∪ – ∪ –</td><td>lec</td></tr>
<tr><td>119</td><td>125</td><td>– ∪ – – ∪ – ∪ – ∪ – |||</td><td>$_\wedge$ia lec ||</td></tr>
</table>

126	133		– ⏑ – – ⏑ – |	‸ia ‸ia |
127	134		– ⏑ – ⏑ – ⏑ – |	lec |
128/9	135/6		– ⏑ – | – ⏑ – – ⏑ – – ⏑ – ⏑ – ⏑ – ||	‸ia | ‸ia ‸ia lec ||
130/1	137/8		⏑ – – – ⏑ – ⏑ – – – ⏑ ⏑ – ⏑ ⏑ – |	ia‸ ith D |
132	139		– ⏑ – ⏑ – – |||	ith |||
256/7	262/3	ΧΟ.	⏒ ⏖ ⏑ ⏖ | ⏑ ⏖ ⏑ –	::2ia
258	264		– ⏑ – – ⏑ – – ⏑ –	‸ia ‸ia ‸ia ∫
259	265		– | ⏑ ⏑ – ⏑ – – |||	ar |||
260/1	266/7	ΑΓ.		::3ia || × 2
268	274	ΧΟ.	⏑ ⏖ – ⏑ – |	:: δ |
269	275		⏑ ⏕ ⏑ ⏕ ⏑ ⏕ ⏑ – |	2ia |
270	276		– ⏑ – ⏑ ⏑ – ⏑ – – |	hi |
271	277		– – – ⏑ ⏑ – – |||	ph |||
272/3	278/9	ΑΓ.		::3ia || × 2
280	286	ΧΟ.	⏒ – ⏑ – – ⏑ – |	::ia ‸ia |
281	287		?⏒ – – – ⏑ ⏓ ||	ia‸ ‸ia ||
282	288		– – – | – ⏑ – |	ia‸ | ‸ia |
283	289		– ⏑ ⏑ – – ⏑ – ⏑ – – |||	ch ith |||
284/5	–	ΑΓ.		::3ia || × 2
548	558		– – – ⏑ – ⏑ – ⏑ – |	‸ia‸ lec |
549	559		⏓ – ⏑ – ⏑ – ⏑ – ||	2ia ||
550	560		– – | ⏑ – ⏑ – || ποποῖ ||	‸ia‸ |ia || ! ||
551	561		– – | ⏑ – ⏑ – || τοτοῖ ||	‸ia‸ |ia || ! ||
552	562		– – | ⏑ – ⏑ – ⏑ – ⏑ – |	‸ia‸ |2ia |
553	563		⏕ ⏑ – ⏑ – ⏑ – ||	lec ||
554/5	564/5		– ⏑ – ⏒ – ⏑ – – ⏑ – ⏑ – ⏑ – |	2lec |
556	566		– – – ⏑ ⏑ – – |	ph |
557	567		– ⏑ – ⏑ ⏑ – – |||	ph |||

550–1 ∼ 560–1] ita Wil.[18] 53 sq. ut vocum Ξέρξης et νᾶες in ternis versibus eadem sit mensura: 2ia | 2ia Dale inclusis exclamationibus

568	576	– ⏑ ⏑ – ⏑ ⏑ – ⏓ ||	φεῦ ||	D – || ! ||
569	577	– –̈ – ⏑ ⏑ – – ||	ἠέ ||	D – (= ph) || ! ||
570	578	– –̈ – ⏑ ⏑ – – ||	ὀᾶ ||	D – (= ph) || ! ||

571	579	– – – ∪ ∪ – ∪ –		gl ∫
572	580	–| ∪ ∪ – ∪ – – ‖		ar ‖
573	581	x̄ ∪∪ ∪ – ‖	ὀᾶ ‖	ia ‖ ! ‖
574	582	– ∪ ∪ – ∪ – – |		ar |
575	583	∪ – – ∪ – ∪ – – ‖|		* ‖|

* De hoc versu v. Dale LM² 95 et CP 206

584	591	– ∪ ∪ – ∪ ∪ – ⏓ ‖	D – ‖
585	592	– ∪ ∪ – ∪ ∪ – – ‖	D – ‖
586	593	– ∪ ∪ – ∪ ∪ – – ‖	D – ‖
587	594	– ∪ ∪ – ∪ ∪ – – ‖	D – ‖
588	595	– ⏕ – ∪ ∪ – ∪ |	D ∪ (= ph) |
589	596	– ⏕ – ∪ ∪ – – |	D – (= ph) |
590	597	– ∪ ∪ – ∪ – – ‖|	ar ‖|

633/4	640/1	– ∪ ∪ – – ∪ ∪ – – | ∪ ∪ – – ∪ ∪ – |		– 4io‸ |
635	642	x̄ ∪∪ ∪ – – ‖		pe ‖
636/7	643/4	? ∪̄ – – ∪ ∪ – ∪ – – – – ∪ ∪ – ∪ ⏓ ‖		2gl ‖
638	645	{ x̄ ∪∪ ∪ – ‖ { ⏓⏓ ∪ – – |		ia ‖ tr |
639	646	– ∪ – ∪ ∪ – – ‖|		ph ‖|

647	652	– ∪ ∪ – – ∪ ∪ – – |		– 2io |
648	653	∪ ∪ – ∪ – ∪ – – ‖		2io÷ ‖
649/50	654/5	∪ ∪ – – | ∪ ∪ – ∪ ∪ – – | ∪ ∪ – – |		io | io‸ io | io |
651	656	– ∪ ∪ – ∪ ∪ – ∪ – – ‖	ἠέ ‖	ar^d ‖ ! ‖

657/8	665/6	∪̄ – – ∪̄ – | ∪̄ – ∪∪ ∪ – ‖		δ | δ ‖
659	667	– ∪ ∪ – ∪ – ∪ – – |		– 2io÷ |
660	668	∪ ∪ – – | ∪ ∪ – – ∪ ∪ – – |		3io |
661/2	669/70	∪ ∪ – – | ∪ – – | ∪ ∪̣ – ∪ – – ‖		io | hi ‖
663/4	671/2	– ∪ ∪∪ | ∪ ∪∪ – ∪̓ – ‖	οἴ ‖	cr | δ ‖ ! ‖

661/2 ∼ 669/70] sive βασιληΐου … νεολαῖα legis, 2io÷ | io⁺ ‖

673	αἰαῖ αἰαῖ ‖	! (ia) ‖
674	– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – |	D² |
675	∪ ∪∪ | ∪ ∪∪ | ∪ ∪∪ | ∪ ∪∪ |	2ia |

<table>
<tr><td></td><td>676/7</td><td>?⏑ ⏖ ⏑ ⏖ ⏑ | ⏖ ⏑ – ⏑ – ⏑ ⏓ ‖</td><td>3ia ‖</td></tr>
<tr><td></td><td>678/9</td><td>– ⏕ ⟨–⟩ ⏕ – | ⏕ – ⏕ – ⏕ – – |</td><td>hex |</td></tr>
<tr><td></td><td>680</td><td>– ⏑ ⏑ – ⏑ ⏑ – – |||</td><td>D – |||</td></tr>
<tr><td></td><td></td><td></td><td></td></tr>
<tr><td>694</td><td>700</td><td>⏑ ⏑ – – ⏑ ⏑ – – |</td><td>2io |</td></tr>
<tr><td>695</td><td>701</td><td>⏑ ⏑ – – ⏑ ⏑ – – |</td><td>2io |</td></tr>
<tr><td>696</td><td>702</td><td>⏔ – ⏕ – ⏑ ⏑ – – |||</td><td>2an∧ |||</td></tr>
<tr><td></td><td></td><td></td><td></td></tr>
<tr><td>852</td><td>858</td><td>– ⏑ ⏑ – ⏑ ⏑ – | ⏑ ⏑ – ⏑ ⏑</td><td rowspan="2">} 10da∧ ‖</td></tr>
<tr><td>853/4</td><td>859/60</td><td>– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ | – ⏑ ⏑ – – ‖</td></tr>
<tr><td>855/6</td><td>861/2</td><td>– ⏕ – ⏑ ⏑ – | ⏑ ⏑ – | ⏑ ⏑ – |</td><td>D³ |</td></tr>
<tr><td>857</td><td>863</td><td>– ⏑ ⏑ – | x̄ – ⏑ – ⏑ – – |||</td><td>ch | 2ia∧ |||</td></tr>
<tr><td></td><td></td><td></td><td></td></tr>
<tr><td>864/6</td><td>872/4</td><td>– ⏕ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓ ‖</td><td>7da∧ ‖</td></tr>
<tr><td>867</td><td>875</td><td>– ⏑ – ⏑ – ⏑ ⏓ ‖</td><td>lec ‖</td></tr>
<tr><td>868/70</td><td>876/8</td><td>– ⏕ – ⏑ ⏑ – | ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – |</td><td>7da∧ |</td></tr>
<tr><td>871</td><td>879</td><td>– ⏑ – ⏑ – – |||</td><td>ith |||</td></tr>
<tr><td></td><td></td><td></td><td></td></tr>
<tr><td>880/1</td><td>889/90</td><td>– ⏕ – ⏑ ⏑ – | ⏑ ⏑ – ⏑ ⏑ – – |</td><td>5da∧ |</td></tr>
<tr><td>882</td><td>891</td><td>– ⏑ – ⏑ – ⏑ – ‖</td><td>lec ‖</td></tr>
<tr><td>883/4</td><td>892/3</td><td>– ⏔ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – |</td><td rowspan="3">} 11da∧ | ith |||</td></tr>
<tr><td>885</td><td>894</td><td>⏑ ⏑ – ⏑ ⏑ – | ⏔ – ⏑ ⏑ – |</td></tr>
<tr><td>886/8</td><td>895/7</td><td>⏕ – ⏑ ⏑ – – | – ⏑ – ⏑ – – |||</td></tr>
<tr><td></td><td></td><td></td><td></td></tr>
<tr><td></td><td>898/9</td><td>– ⏕ – ⏑ ⏑ – | ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – |</td><td>7da∧ |</td></tr>
<tr><td></td><td>900</td><td>† †</td><td></td></tr>
<tr><td></td><td>901</td><td>– ⏑ ⏑ – ⏑ ⏑ – | ⏑ ⏑ – – ‖</td><td>4da∧ ‖</td></tr>
<tr><td></td><td>902</td><td>– ⏕ – ⏕ | – ⏕ – ⏑ ⏑ – – ‖</td><td>5da∧ ‖</td></tr>
<tr><td></td><td>903/5</td><td>– ⏕ – ⏑ ⏑ – | ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – ‖</td><td>7da∧ ‖</td></tr>
<tr><td></td><td>906/7</td><td>– ⏕ – ⏑ ⏑ – | x̄ – ⏑ – ⏑ – – |||</td><td>D | 2ia∧ |||</td></tr>
</table>

901–2] vel hex ‖ 3da∧ ‖, at cf. Fraenkel[1] II 57

922–30 anapaesti; insignis est clausula 930/1
⏕ – ⏕ – | ⏑ ⏑ ⏖ ⏑ ⏑ – |||

932	941	ΞΕ.	⏑ ⏑ – –̈ – | –̈ – – ‖	::2an∧ ‖
933	942		⏖ ⏗ –̈ – | –̈ ⏗ ⏖ – |	2an |
934	943		⏑ ⏑ ⏘ ⏑ ⏑ – ‖	an ‖
935	944	ΧΟ.	–̈ – –̈ – | ⏖ – – ‖	::2an∧ ‖
936/7	945/6		⏑ ⏑ ⏘ ⏖ – | ⏑ ⏑ ⏘ ⏑ ⏑ – |	2an |
938	947		⏑ ⏑ – –̈ – | –̈ – –̈ – |	2an |
939/40	948/9		–̈ – –̈ ⏗ | ⏑ ⏑ – – ‖|	2an∧ ‖|
950	962	ΞΕ.	⏑ ⏑ – ⏑ ⏑ – – ‖	::io∧ io ‖
951/2	963/4		⏑ ⏑ – – – ⏑ – – ⏑ ⏑ – – |	3io |
953	965		⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – |	io∧ io∧ io∧ |
954	966		–̈ – ⏑ ⏑ – – ‖	io∧ io ‖
955	967	ΧΟ.	x̄ – – ⏑ – | x̄ – – x̄ – ‖	::δ | δ ‖
956	968		– ⏑ ⏑ – – ⏑ ⏑ – ‖	– 2io∧ ‖
957	969		– ⏑ – ⏔ – ⏑ – ‖	lec ‖
958	970		– ⏑ – ⏑ – ⏑ – ‖	lec ‖
959	971		–̈ – ⏑ ⏑ – | –̈ – –̈ – |	2an |
960	972		–̈ – –̈ – | –̈ – –̈ – |	2an |
961	973		⏖ ⏘ ⏑ ⏑ – ‖|	an ‖|
974	988	ΞΕ.	⏑ – ⏑ – – |	::pe |
975	989		⏖ – ⏑ ⏑ – | ⏑ ⏑ – – ‖	2an∧ ‖
976	990		⏔ – ⏑ – – | – ⏘ ⏘ ⏑ – ‖	pe | δ ‖
977	991		⏑ – ⏑ – – ⏑ ⏑ – – ⏔ ⏑ – – ‖	pe 2io ‖
978	992	ΧΟ.	–̈ – –̈ – | ⏑ ⏑ – – ‖	::2an∧ ‖
979	993		–̈ – –̈ – | –̈ ⏗ –̈ – |	2an |
980	994		–̈ ⏗ ⏖ ⏗ | –̈ – – ‖	2an∧ ‖
981	995		–̈ – –̈ – | ⏖ – – ‖	2an∧ ‖
982	996		–̈ ⏖ –̈ – |	an |
983	997		–̈ – –̈ – | –̈ ⏗ –̈ – |	2an |
984	998		–̈ – ⏖ – | ⏖ – – ‖	2an∧ ‖
985/6	999/1000		⏑ ⏘ | ⏑ ⏘ | x̄ – – ⏔ – ‖	ia | δ |
987	1001		⏔ – ⏑ – ⏔ | ⏑ ⏘ ⏘ ⏑ – ‖|	pe | δ ‖|

974–7] cf. Dale CP 33

1002	08	ΞΕ.	⏑ – ⏑ – | – ⏑ – ⏔ – ⏑ – ‖	::ia | lec ‖
1003	09	ΧΟ.	⏑ – ⏑ – – ⏑ – ‖	::ia ∧ia ‖
1004	10	ΞΕ.	⏑ – ⏑ – | ⏑ – ⏑ – ‖	::2ia ‖
1005	11	ΧΟ.	⏑ – ⏑ – | – ⏑ – ‖	::ia | ∧ia ‖

1006	12		x̄ ⏖ ⏑ – – ⏑ –|	ia ‸ia|
1007	13		– ⏑ ⏑ – – ⏑ – ⏑ – –|||	ch ith |||
1014/5	26/7	ΞΕ.	⏒ – ⏑ – – ⏑ – – ⏑ – ⏑ – –||	::ia ‸ia ith ||
1016	28	ΧΟ.	⏑ – ⏑ – – ⏑ ⏑ – ⏑ – –||	::ia ch ia‸ ||
1017/8	29/30	ΞΕ.	⏑ – ⏑ – – ⏑ ⏑ – ⏑ – ⏑ –||	::ia ch ia ||
1019/20	31/2	ΧΟ.	⏑ – ⏑ –| ΞΕ. – ⏑ ⏑ – ⏑ – ⏑ –||	::ia ::ch ia ||
1021	33	ΧΟ.	⏑ ⏑⏑ ⏑ – ⏑ – ⏑ –||	::2ia ||
1022	34	ΞΕ.	– ⏓ – ⏑ ⏑ – –||	::ph ||
1023	35	ΧΟ.	– ⏑ – ⏑ ⏑ – –||	::ph ||
1024	36	ΞΕ.	– ⏑ – ⏑ ⏑ – –||	::ph ||
1025	37	ΧΟ.	⏑ – – – ⏑ – ⏑ – –|||	::ia‸ ith |||
1038	46	ΞΕ.	⏑ – ⏑ – ⏑|– ⏑ – ⏑ – ⏑ ⏓|	::3ia ||
1039	47	ΧΟ.	⏑ – ⏑ –|⏑ – ⏑ –||	::2ia ||
1040	48	ΞΕ.	⏑ – ⏑ – ⏑ – ⏑ –||	::2ia ||
1041	49	ΧΟ.	⏑ – ⏑ – ⏑ – ⏓||	::2ia ||
1042	50	ΞΕ.	⏑ – ⏑ ⏖ ⏑ – ⏑ –||	::2ia ||
1043	51	ΧΟ.	⏑ ⏑⏑ ⏑ –|	::ia|
1044	52		⏑ – ⏑ – ⏑ – ⏑ –||	2ia ||
1045	53		– ⏑ ⏑ – ⏑ – –|||	ar |||
1054	60	ΞΕ.	⏒ – ⏑ – ⏑|– ⏑ – ⏑ – ⏑ –||	::3ia ||
1055	61	ΧΟ.	⏑ ⏑⏑|⏑ ⏑⏑|	::ia|
1056	62	ΞΕ.	x – ⏑ – x|– ⏑ – ⏒ – ⏑ ⏓||	::3ia ||
1057	63	ΧΟ.	⏑ – – – ⏑ ⏑⏑ ⏑ – ⏓||	::ia‸ ith ||
1058/9	64/5	ΞΕ.	⏑ – – – ⏑| ΧΟ. – ⏑ – –|||	::ia‸ ith |||
	1066	ΞΕ.	⏑ – ⏑ – ⏑ – ⏑ –||	::2ia ||
	1067	ΧΟ.	⏑ – ⏑ –||	::ia ||
	1068	ΞΕ.	x – ⏑ – ⏑ – ⏑ ⏓||	::2ia ||
	1069	ΧΟ.	⏑ – ⏑ –||	::ia ||
	1070	ΞΕ.	†⏑ – – – ⏑ – ⏑†	::†ia‸ tr†
	1071	ΧΟ.	†⏑ – – – ⏑ – –†	::†ia‸ tr†
	1072	ΞΕ.	⏑ – ⏑⏑ ⏑ –||	::δ ||
	1073	ΧΟ.	⏑ – ⏑ –|– ⏑ – ⏑ – ⏑ –||	::ia|lec ||
	1074	ΞΕ.	⏗ – ⏗ –|⏗ – ⏗ –|	::2an|
	1075	ΧΟ.	⏗ – ⏗ –|– ⏑⏑ ⏑⏑ ⏑ –||	::an|δ ||
	1076	ΞΕ.	⟨ ⟩	::
	1077	ΧΟ.	– – – ⏑ – ⏑ – ⏑ –|||	:: ‸ia‸ lec |||